27 v. 5 Ulp. l.: ἀγῶσι.
28 v. 15 Ulp. l.: προϋπάρχουσαν. not. 7 l.: μεγίστη.
30 not. 3 (in Dem.) pro: Herv. 3. ed. Ven. l.: Herv. 2. et Felic. Ceterum quod schol. Aristid. Panath. p. 62, 19. Dind. p. 26. Fromm. χορείας καλεῖ τοὺς ὕμνους τῶν θεῶν ὡς καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου Frommelus huc spectare eoque

*χορείας* scripturam confirmari arbitratur, cuius loco Spaldingum dicit invitis libris *στρατείας* legere, tribus nominibus fallitur, cum *στρατείας* librorum sit scriptura, neque a Spaldingo primo commendata, neque scholiasta huic Demosthenis loco propter *χορείας* verbum sed potius p. 66. pro *ὕμνους* vocabulum testimonium denunciasse videatur.

P. 35 v. 4 Ulp. pro: 4) et 3) pone 3) 4).
38 v. 5 Ulp. l.: *διὸ.* not. 12 l.: *τοσαύτας.*
39 v. 3 a fin. Dem. l.: *ἔστι.*
41 v. 3 Ulp. l.: *"Ο,τε* cum Ald. prim. Lut. v. 4 in not. Ulp. pro 3) 4) l.: 4) 5).
46 v. 4 Ulp. l.: *ἔστι.*
47 v. 5 Ulp. l.: *ἔστι.*
50 v. 7 Ulp. l.: *Ἔστι.* v. 9 l.: *πρὸς.*
51 not. 4 (in Dem.) pro *γῇ* l.: *γε.*
54 v. 2 not. (in Dem.) l.: *ὑβριστικὰς.*
55 v. 9 Ulp. l.: *ἰδιωτικὸς.*
57 v. 9 Ulp. l.: *κατεγνω–*
58 v. 2 a fin. Ulp. l.: 5).
59 v. 3 Dem. l.: *Ἱκανὴν.* v. 13 l.: *ὑπερβολῇ.*
60 v. 3 not. (in Dem.) uncis circumscribe Par. 5.; idem faciendum p. 61, not. 3.
61 v. 3 Dem. l.: *πρὸς.* v. 7 a fin. not. (in Dem.) l.: reperitur.
62 v. 2 Ulp. l.: *νόμου, φησίν, οὐκ α. τινος οὐ κτλ.* v. 6 not. (in Dem.) l.: *αὐθήμερον.*
63 v. 5 Ulp. l.: *ἔστι.* In notis Ulp., quae primo loco posita est, poni altero debebat et contra; sed coniectura *ἔχει* non opus est, modo scribatur: *τοῦτον, φησὶν, ὃν — ἔχω.*
66 v. 3 (not. Dem.) a fin. pro *p.* l.: *v.*
67 v. 12 Dem. l.: *Διὸς.* not. 3 in Dem. l.: *ὡραῖον — χορὸν.*
72 v. 3 Ulp. l.: *τὸ.* v. 6 l.: *κατὰ.*
74 v. 4 Ulp. l.: *Ἠγανάκτουν.*
76 v. 3 a fin. not. (in Dem.) l.: vel.
86 v. 1 Dem. l.: *ὀργὴν.*
87 v. 2 Ulp. l.: *τιμᾶς.*
88 v. 5 a fin. Ulp. l.: *τύπτεσθαι, φησί.*
92 v. 3 Dem. l.: *ὑπὸ.*
93 not. 4 (in Ulp.) l.: addidi.
95 v. 10 Ulp. l.: *ἔστι.*
96 v. 1 Dem. l.: *τὴν.*
99 v. 12 Ulp. l.: *τὴν.*
100 v. 3 Ulp. l.: *ὧ.*
104 v. 15 Ulp. l.: *ἔστι.*
106 v. 9 Ulp. l.: *σημηνάμενοι.*
109 v. 4 Ulp. l.: *ἦν.*
110 v. 4 Dem. l.: *πρὸς.* v. 15 Ulp. l.: *Ἤδη.*
113 v. 2 Ulp. l.: *τὴν δίαιταν.*
117 v. 7 Ulp. l.: *ἔστιν.*
119 v. 4 Dem. l.: *ἀλλ'.* v. 13 Ulp. l.: *τουτέστι.*
120 v. 1 Dem. l.: *τὴν.*
122 v. 1 Dem. l.: *δραχμὰς.* v. 3 l.: *ὑπὸ.* v. 10 l.: *ὁντινοῦν.*
124 v. 24 Ulp. l.: *Ἀπάσας.*

P. 132 v. 6 Ulp. l.: ἐστι.
133 v. 3 Ulp. l.: ἔστι.
140 v. 6 not. (in Ulp.) l.: ἐντεῦθεν.
143 v. 3 Dem. l.: τὴν.
144 v. 6 Dem. l.: τὸν.
147 v. 12 Ulp. l.: τῶν.
148 v. 12 Ulp. l.: ληψόμεθα.
150 v. 1 Dem. l.: τὸν. v. 4 Ulp. l.: ἐπεσημήνατο. not. 13 l.: maluit.
151 v. 1 Dem. l.: τὰ.
152 v. 2 Dem. l.: ἱεροποιὸν. v. 9 Ulp. l.: „τί γάρ, φησίν“.
155 v. 3 a fin. Ulp. l.: διαλύεσθαι.
157 not. 4 Dem. l.: ἐστ'.
159 not. 1 (in Dem.) l.: Μάρτυρες.
160 v. 3 Ulp. l.: Ἄν.
161 not. 11 l.: delevit.
162 v. 2 Dem. l.: αὐτὸν.
165 v. 9 Ulp. l.: Ἐγὼ.
166 v. 2 Dem. l.: τὸ. not. 1 (in Ulp.) l.: legitur.
170 v. 3 Dem. l.: ἔστι. v. 1 Ulp. l.: πολλὰς.
172 v. 9 Ulp. l.: οὐκ ἔστι.
176 v. 11 Dem. l.: μιαρὰ.
179 v. 15 Ulp. l.: Τιμόκρατες.
185 not. 4 (in Ulp.) l.: πως, sed iam abiecta coniectura suadeo ut in unum verbum coniungantur προσκατασκευὴν.
189 v. 13 Ulp. l.: οὐκ ἔστιν. not. 4 (in Ulp.) l.: ἀπογόνους.
191 v. 8 Ulp. l.: εἵλετο.
193 not. 8 (in Dem.) l.: αὐτὸν.
194 v. 5 Ulp. l.: τὸ.
196 v. 10 Ulp. l.: ἔστι. v. 13 l.: ὡς. v. 14 l.: οὐκ ἔστι — ἦσαν.
199 v. 9 Ulp. l.: αἰδῶ.
203 v. 7 Ulp. l.: διὰ.
206 v. 11 Ulp. l.: ἦν. not. 6 (in Dem.) l.: distinguunt.
211 v. 7 Dem. l.: οἵαπερ.
214 not. 1 pro „probabilius“ l.: satius.
215 v. 12 Ulp. l.: ἀπέχει.
216 v. 1 Dem. l.: ἀλλὰ.
217 v. 4. Dem. l.: οὐκ.
221 v. 9 Ulp. l.: τὰ. v. 18 l.: ἀγαθὸν.
224 not. 2 (in Ulp.) l.: repu-gnare.
233 v. 5 Ulp. l.: τόπων.
236 v. 7 Dem. l.: εἰσιν.
239 v. 2 a fin. Ulp. l.: τὸν.
242 v. 8 a fin. l.: culta sit.
244 not. 1 (in Ulp.) l.: σωφρονισθῇ.
245 v. 10 Ulp. l.: κρύψον.
261 v. 4 Dem. l.: ἐστε.
265 v. 1 Dem. l.: ἧττον.

# *ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΣ*

## *ΚΑΤΑ ΜΕΙΔΙΟΥ ΠΕΡΙ* [1] *ΤΟΥ ΚΟΝΔΥΛΟΥ.*

### *ΥΠΟΘΕΣΙΣ.* [2]

*Ἑορτὴν ἦγον* [3] *οἱ Ἀθηναῖοι Διονύσῳ, ἣν* [4] *ἐκάλουν ἀπὸ*
*τοῦ θεοῦ Διονύσια· ἐν δὲ ταύτῃ τραγικοὶ καὶ κωμικοὶ καὶ*
*αὐλητῶν χοροὶ διηγωνίζοντο. καθίστασαν δὲ τοὺς χοροὺς*
*αἱ φυλαὶ δέκα τυγχάνουσαι·* [5] *"χορηγὸς δὲ ἦν ἑκάστης* 509
460 *φυλῆς ὁ τὰ ἀναλώματα παρέχων τὰ περὶ" τὸν χορόν. ὁ τοί-* R.
Bk. *νυν Δημοσθένης τῆς ἑαυτοῦ φυλῆς, τῆς Πανδιονίδος,* [6]
*ἐθελοντὴς ὑπέστη χορηγός.* [7] *ἐχθρῷ δὲ κεχρημένος* [8] *τῷ*
*Μειδίᾳ, τῶν πλουσίων ἑνί, φησὶ μὲν* [9] *καὶ ἄλλα παρὰ* [10]
*τὴν χορηγίαν αὐτοῦ* [11] *πεπονθέναι κακῶς, τὸ δὲ τελευταῖον*
*ἐπὶ τῆς ὀρχήστρας κονδύλους ἔλαβεν* [12] *ἐναντίον πάντων,*

---

1) Tayl. *ὑπὲρ* in vulgatis dicit esse, nescio quibus. 2) Ita Be., *Λιβανίου ὑπόθεσις τοῦ κατὰ Μειδίου λόγου ὑπὲρ* (*περὶ* Par. 1. 2. Reisk. Bu.) *τοῦ κονδύλου* vulg. 3) *ἐπετέλουν* mg. Lut. 4) *ἐν ᾗ* F. Bav. 5) *τυγχάνουσι* Herv. 6) *Πανδιώνιδος* Par. 1. 7) *χορηγεῖν* Bav. 8) *κεκτημένος* t. 9) *μὲν*] *μὲν γὰρ* Bav. F. 10) *παρὰ* Bu. Be., *ἐπὶ* Barocc. Vind. Ald. Felic. Herv. Reisk., *ὑπὸ* Bav. F Ytv, Lind. Ven. Bodl. Par. 1., *περὶ* vel *κατὰ* Wolf., *παρὰ* et *ὑπὸ* mg. Lut., *περὶ* Tayl. 11) Ita Lut. Reisk. Bu. Be., *αὑτοῦ* Bav. Ald. Felic. Paul. Herv. *ὑπ' αὐτοῦ* Wolf. de coni. et Sp. 12) *λαβεῖν* Wolf. mg. Lut. Tayl., *διέλαβεν* Ven.

τῶν θεατῶν. ἐπὶ τούτῳ [1]) κατηγόρησεν ἐν τῷ δήμῳ τοῦ Μειδίου ὡς ἠσεβηκότος εἰς τὴν ἑορτὴν καὶ [2]) τὸν Διόνυσον· ἐκαλεῖτο δὲ ἡ τοιαύτη κατηγορία προβολή. ὁ μὲν οὖν δῆμος κατέγνωκε τοῦ Μειδίου τὴν ἀσέβειαν, ἀγωνίζονται δὲ νῦν ἐν δικαστηρίῳ περὶ τῆς τοῦ δήμου καταχειροτονίας· ἔδει γὰρ καταγνόντος τοῦ [3]) δήμου δικαστήριον κρῖναι δεύτερον. ἔστιν οὖν ὁ ἀγὼν περὶ ὑποτιμήσεως· οὐ γὰρ περὶ τοῦ μηδὲν ἀδικεῖν ὁ Μειδίας ἀγωνίζεται ἀλλὰ περὶ τοῦ [4]) τιμήματος, πότερον ὕβρεως ἢ ἀσεβείας ὀφείλει δίκην. ὁρικὸς οὖν ὁ λόγος τῇ στάσει, τοῦ μὲν Μειδίου λέγοντος ὕβριν εἶναι τὸ πραχθέν, ἐπειδὴ τετύπτηκεν [5]) ἄνδρα ἐλεύθερον, [6]) τοῦ δὲ Δημοσθένους ἀσέβειαν, ἐπειδὴ χορηγὸς [7]) ὁ τετυπτημένος [8]) καὶ ἐν Διονυσίοις καὶ ἐν τῷ θεάτρῳ· διὰ γὰρ τούτων καὶ ἠσεβηκέναι τὸν Μειδίαν φησίν· ὡς εἶναι διπλοῦν ὅρον κατὰ σύλληψιν, ὅταν μὴ ἐκβάλλοντες τὸ ὑπὸ τῶν ἀντιδίκων εἰςαγόμενον ὄνομα καὶ ἕτερον αὐτῷ προςτιθῶμεν, [9]) ὥςπερ ἐνταῦθα ὁ Δημοσθένης τοῦ Μειδίου λέγοντος ὑβρικέναι οὐκ ἐκβάλλει μὲν οὐδὲ τὴν ὕβριν, προςτίθησι δὲ αὐτῇ καὶ τὴν ἀσέβειαν.

## ἌΛΛΩΣ. [10]) 510 R.

Διάφοροι παρὰ Ἀθηναίοις ἤγοντο ἑορταί, ἐν αἷς ἦν τὰ Παναθήναια, ἅπερ ἦν διπλᾶ, [11]) μικρά τε καὶ μεγάλα· καὶ τὰ μὲν [12]) κατὰ πενταετηρίδα ἐτελεῖτο, [13]) τὰ δὲ μικρὰ κατὰ τριετηρίδα. [14]) ἐν μὲν οὖν τοῖς μεγάλοις γυμνάσιά τινα ἐγίνοντο, καὶ προὐβάλλετο ἀφ' ἑκάστης φυλῆς εἷς γυμνασίαρχος, λαμβάνων χρήματα εἰς τὸ γυμνάζειν τοὺς ἐπιτελέσοντας [15]) τὴν ἑορτήν, καὶ δώσων τὰς [16]) τούτων δα-

1) τοῦτο F Υ v. 2) καὶ] καὶ εἰς Bav. Lut. Reisk. Bu. 3) τοῦ om. Bav. 4) τοῦ om. F Y t v. 5) Ita Bav. F Y t v, Be., probat Schaef., τετύπτηκεν Par. 1. 5, ἔτυψεν vulg. 6) ἐλεύτερον Herv. 7) Ita Bav. Be., χορηγὸς ἦν ὁ vulg. 8) Ita Bav. Y t v, Be., τετυπημένος F, Par. 1. 5., τυφθεὶς vulg. 9) προςτίθεμεν Bav. 10) Ita Reisk. Be., ἄλλως ὑπόθεσις τοῦ κατὰ Μειδίου λόγου Δημοσθένους περὶ τοῦ κονδύλου Lut., ἄλλη vel ἑτέρα ὑπόθεσις reliq. 11) διπλᾶ om. Herv. Wolf. 12) τὰ μὲν] t v Herv. Be., τὰ μὲν μεγάλα vulg. 13) ἐπετελοῦντο mg. Lut., ἐπετελεῖτο Bu. 14) τριετίδα t. 15) γρ. μέλλοντας ἐπιτελέσαι mg. Lut. 16) δώσων τὰς] Ita W. de coni. et Be., διδόναι τὰς Vind. mg. Lut. Bu., δώσοντας vulg.

πάνας τοῖς τῆς ἑαυτοῦ φυλῆς. ἤγετο δὲ παρ' αὐτῶν [1] καὶ τὰ Διονύσια, καὶ ταῦτα διπλᾶ, μικρά τε καὶ μεγάλα, καὶ [2] τὰ μὲν μικρὰ ἤγετο κατ' ἔτος, τὰ δὲ μεγάλα διὰ τριετηρίδος ἐν τοῖς ληνοῖς, ἐν οἷς προὐβάλλετο χορηγὸς ἀφ' ἑκάστης φυλῆς πρὸς τὸ τρέφειν χοροὺς παίδων τε καὶ ἀνδρῶν, ἐλάμβανε δὲ χρήματα εἰς τοῦτο. [3] ἐπιστάσης δὲ τῆς ἑορτῆς ἠγωνίζοντο πρὸς ἀλλήλους οἱ χορηγοὶ καὶ ἤριζον, ὕμνους εἰς τὸν Διόνυσον ᾄδοντες, καὶ τῷ νικῶντι τρίπους τὸ ἆθλον ἦν, ἐπειδὴ τὸν αὐτὸν Ἥλιον καὶ Ἀπόλλωνα καὶ Διόνυσον ᾤοντο. παυομένης δὲ τῆς ἑορτῆς ἐν τῷ πρώτῳ μηνὶ προὐβάλλοντο οἱ χορηγοὶ τῆς μελλούσης ἑορτῆς. ἐν τοίνυν τῷ παρόντι καιρῷ προεβλήθησαν οἱ χορηγοὶ ἑκά-
461 Bk. στης φυλῆς, ἐσπάνιζε δὲ [4] ἡ Πανδιονὶς ἡ τοῦ Δημοσθένους φυλὴ χορηγοῦ, καὶ ἠμέλησε τὸ πρῶτον ἔτος, τὸ δεύτερον, τὸ τρίτον. ἔθος δὲ ἦν πρὸ μηνὸς τῆς ἑορτῆς τὸν ἄρχοντα συνάγειν τοὺς χορηγοὺς ἑκάστης φυλῆς εἰς τὸ λαχεῖν [5] περὶ τῶν αὐλητῶν. καὶ ἐλθόντων τῶν χορηγῶν ἑκάστης φυλῆς πλὴν τοῦ τῆς Πανδιονίδος [6] ἰδὼν [7] ὁ Δημοσθένης τὴν ἑαυτοῦ φυλὴν ἀτιμαζομένην παρὰ [8] πάντων τῷ μὴ κεκτῆσθαι χορηγόν, αὐτεπάγγελτον καὶ [9] 511 R.
αὐτοχειροτόνητον ἑαυτὸν χορηγὸν τῇ φυλῇ καθίστησι, [10] κἀντεῦθεν [11] ἐπῃνεῖτο παρὰ πάντων. καὶ δὴ [12] λαχόντος [13] αὐτοῦ περὶ τῶν αὐλητῶν συνέπραξεν αὐτοῦ [14] ἡ τύχη τῇ προθυμίᾳ, καὶ ἔλαχεν [15] αὐτῷ ὁ κάλλιστος τῶν αὐλητῶν ὁ Τηλεφάνης. θέλων οὖν ὁ Δημοσθένης κοσμῆσαι τὸν αὐτοῦ [16] χορὸν πλέον τῶν ἄλλων, ἐποίησεν αὐ-

---

1) αὐτῆς mg. Lut. 2) Ita Lut. Reisk. Bu. Be., καὶ τὰ — μεγάλα om. Herv., διπλᾶ, μικρά τε κατ' ἔτος ἐν ἄστει καὶ μεγάλα διὰ τριετηρίδος ἐν τοῖς ληνοῖς W. de coni. 3) Ita Be., εἰς τοῦτο χρήματα vulg., εἰς τροφὴν τὴν τοῦ χοροῦ χρήμ. mg. Lut. 4) δὲ W. in Bas., δὴ videtur in Frank. esse. 5) λαχεῖν] κληροῦσθαι Bu. de coni. 6) Post Πανδ. addit Par. 1.: ηὐτελίζετο ἀπὸ (voluit ὑπὸ) πάντων. 7) ἰδὼν] καὶ ἰδὼν Vind. 8) παρὰ — χορηγόν] ἐθελοντὴς ὁ ῥήτωρ Vind. 9) καὶ] ἤτοι Vind. 10) τῇ φυλῇ καθ.] ὑπὲρ τῆς φυλῆς προεβάλλετο Paris. 1. ὑ. τ. φ. προεβάλετο Vind. 11) κἀντεῦθεν — πάντων] καὶ — πάντων διὰ τοῦτο Vind. 12) δὴ om. Herv. Wolf. 13) λαχόντος] κληρουμένου mg. Lut. Bu. 14) Ita Wolf. mg. Lut. Tayl., probat Schaef., αὐτῷ vulg. 15) γρ. ἔλαχεν αἱρεῖσθαι αὐτῷ τὸν κάλλιστον τῶν αὐλητῶν τὸν Τηλεφάνη mg. Lut. 16) αὑτοῦ Lut.

τὸν [1] φορέσαι χρυσοῦς στεφάνους. Μειδίας δέ, τῶν πολιτευομένων τις, ὢν σφόδρα πλούσιος καὶ πολλὰ δυνάμενος, ἐχθρὸς τῷ Δημοσθένει γεγονὼς διὰ τὰς αἰτίας, ἃς ἐρεῖ μετὰ μικρὸν ἐν τῷ λόγῳ, πολλάκις καὶ ἄλλα παρηνώχλει [2] καὶ ἐπηρέαζε, καὶ δὴ καὶ ὡς [3] ὁ Δημοσθένης λέγει, ὅτι ὀμνυόντων [4] τῶν κριτῶν τῷ καλῶς ᾄσαντι δοῦναι τὴν νίκην νύττων αὐτοὺς ὁ Μειδίας ἔλεγε „πλὴν Δημοσθένους“, ὅθεν ὁ Δημοσθένης ἐβόα ἐλέγχων αὐτόν. [5] καὶ τελευτῶν εἰς τοιαύτην ἦλθε μανίαν ὁ Μειδίας, ὥστε ἐν τῷ θεάτρῳ κόνδυλον αὐτῷ παρασχεῖν καὶ τὴν ἱερὰν περιῤῥῆξαι ἐσθῆτα· [6] καὶ ἰδὼν ὁ δῆμος ἐπεσύριττεν, ὃ [7] παρὰ τοῖς παλαιοῖς ἐπὶ κακοῦ ἐλαμβάνετο. ἀπελθὼν δὲ ὁ Δημοσθένης ἐσκέψατο τὸν παρόντα λόγον, κατηγορῶν αὐτοῦ δημοσίων ἀδικημάτων, ἐν ᾧ καὶ διαβάλλει τὸν Μειδίαν ὡς κλέψαντα [8] τῶν [9] χρυσῶν στεφάνων ὁντινοῦν [10] παρὰ τοῦ χρυσοχόου. ἄγει τοίνυν αὐτὸν ἐπὶ τὴν κρίσιν ὁ ῥήτωρ, καταφορᾷ [11] πλείστῃ καὶ τόπῳ [12] σφοδρῷ προσχρησάμενος· ἡ γὰρ τοῦ Μειδίου ποιότης καὶ ἡ τῶν πραγμάτων προπέτεια [13] τῇ καταδρομῇ συμμαχεῖ. ἡ δὲ στάσις ὁρική, ζητούντων ἡμῶν ἴδιον ὄνομα τῷ ἐγκλήματι· ὁ μὲν γὰρ Μειδίας ἰδιωτικόν, ὁ δὲ ῥήτωρ δημόσιον εἶναι κατασκευάζει. ὅρος γάρ ἐστιν, οὗ τὸ μὲν πέπρακται, τὸ δὲ λείπει πρὸς τὸ τέλεον [14] τοῦ ὀνόματος 512 R. τοῦ ἐπιτεθησομένου [15] τῷ πράγματι, ὡς ἐπὶ τοῦ τὸ κενοτάφιον ὀρύξαντος καὶ κρινομένου τυμβωρυχίας. ἐνταῦθα γὰρ πέπρακται μὲν τὸ ὀρύξαι, λείπει δὲ τὸ τάφον ὀρύξαι· [16] λέγει γὰρ ὁ φεύγων „ὤρυξα [17] μέν, οὐ τάφον δέ· [18] οὐ

1) αὐτοὺς mg. Lut. Bu. 2) παρηνόχλει Herv. Wolf. 3) ὡς om. Herv. Wolf. Tayl. 4) ὀμνιόντων Herv. 5) ὅθεν — αὐτὸν] Excidisse videntur verba „ὀμνύουσι παρεστηκὼς τοῖς κριταῖς“. 6) Debebat mutato ordine dicere: ὥστε τὴν ἱερὰν περιῤῥῆξαι (vel potius καταῤῥῆξαι cf. §. 63, 2.) ἐσθῆτα καὶ ἐν τῷ θεάτρῳ κτλ. cf. §. 16. 7) ὃ] ὅστις συρισμὸς Par. 1. 8) Debebat dicere ὡς κατακόψαντα vel διαφθείραντα. 9) τῶν] ἀπὸ τῶν Lut. Reisk. Bu. 10) ὁντινοῦν om. Par. 1. Bu. 11) ὁρμῇ Par. 1. pro καταφ. 12) τόπῳ] τόνῳ coni. Bernhardy, Seager. τύπῳ coni. Schaef. 13) προπέτεια καὶ ἡ τῶν πραγμάτων ποιότης coni. Be., recepit Dind. 14) αὐτοτέλειαν mg. Lut. 15) ἐπιτεθειμένου mg. Lut. 16) ὀρύξαι] ὀρύξαι οὐ κενοτάφιον Lut. Reisk., nostra scriptura est in Herv. Wolf. Bu. Be. 17) ὄρυξα Herv. 18) οὐ τάφον ὤρυξα mg. Lut.

γὰρ εὗρον νεκρόν," ὁ δὲ διώκων ἀντιφέρει ὅτι „τὸ διορύξαι [1]) κενοτάφιον τυμβωρυχίαν καλῶ· [2]) οὐ γὰρ αὐτὸς [3]) ᾔδεις, ὅτι κενοτάφιόν ἐστιν, ἀλλ' ὡς τάφον ὀρύττων, ἐπεὶ κενοτάφιον εὕρηται, ἀξιοῖς μὴ δοῦναι δίκην." οὕτω κἀνταῦθα πέπρακται μὲν τὸ τύψαι τὸν Δημοσθένην, λείπει δὲ τὸ καλέσαι τὸν αὐτοχειροτόνητον χορηγόν· ὁ γὰρ Δημοσθένης λέγει ὅτι „χορηγὸν ἔτυψας," ὁ δὲ Μειδίας ὅτι „χορηγὸν [4]) οὐκ ἔτυψα (αὐτοχειροτόνητος γὰρ ἦσθα), ἀλλ' ἰδιώτην· [5]) τοῦτο δὲ οὐκ ἔστι δημόσιον ἀδίκημα." διπλοῦς δὲ ὁ [6]) ὅρος εἴδους τοῦ κατὰ σύλληψιν· κατὰ σύλληψιν δὲ ἔστιν, ὅταν ὁ διώκων [7]) τὴν αὐτοῖ [8]) δικαιολογίαν καὶ τὴν τοῦ φεύγοντος" εἰς ἓν συνάγῃ· [9]) ἔνθα 462 Bk. γὰρ οὐ τὸ μὲν ἐκβάλλει τις τὸ δὲ δέχεται ἀλλ' ἄμφω [10]) συγκροτεῖ καὶ συλλαμβάνει, τοῦθ' [11]) ὑπάγομεν τῷ εἴδει. φαίνεται οὖν ὁ ῥήτωρ [12]) ἐν πολλοῖς τοῦτο ποιῶν μέρεσι, καὶ φάσκων ἅμα αὐτῷ [13]) καὶ τὴν πόλιν ὑβρίζεσθαι. [14]) κεφάλαια δὲ τὰ τῇ τάξει [15]) προσήκοντά ἐστι τῷ λόγῳ. [16]) τὰ [17]) δὲ προοίμια καταφορικά, ὑπερβολὴν [18]) ἔχοντα πολλὴν καὶ τῶν περιστατικῶν αὔξησιν· τὸ γὰρ πρὸς [19]) ἅπαντας καὶ οὐ πρὸς ἐμὲ μόνον καὶ τὸ ἀεὶ τὴν μελέτην τῆς ἀτοπίας καὶ οὐ πρὸς ἅπαξ ἐκ τύχης ἡμαρτηκότα [20]) δείκνυσι.

Κεφάλαια δὲ τοῦ λόγου" ταῦτα· [21]) ὅρος, ἀνθορισμός, γνώμη νομοθέτου, συλλογισμός, πηλικότης, πρός 513 R.

---

1) διορύξαι] δ' ὀρύξαι coni. Schaef. 2) λέγω mg. Lut. 3) αὐτὸ coni. Bu. 4) χορηγὸν] χορηγὸν ἁπλῶς Vind. Lut. Reisk. 5) ἀλλὰ δημοσθένην ἰδιώτην ὄντα. τὸ δὲ τύψαι ἰδιώτην οὐκ ἔστι δημ. Vind. mg. Lut. Ceterum nihil horum in ipsa oratione reperitur. 6) ὁ om. Herv. Wolf., extat in vulg. post Lut. 7) κατήγορος mg. Lut. 8) αὐτοῦ vulg. ante Bu. 9) συναγάγῃ Par. 1. 2. tr. 10) ἀμφότερα mg. Lut. Bu. 11) τούτῳ W. de coni. 12) δημοσθένης mg. Lut. 13) τῷ δημοσθένει mg. Lut., αὐτῷ Herv. Wolf. 14) ὑβρίσθαι Bu. 15) τάξει] στάσει mg. Lut. Vind. 16) ἐστι τῷ λόγῳ om. Par. 1. Vind., κεφάλαια δὲ τὰ τῇ στάσει προσήκοντα τάδε· τὰ δὲ προοίμια etc. coni. Markland. Malim κεφάλαια δὲ τὰ τῇ στάσει προσήκοντα τάδε. προοίμια καταφ. 17) προοίμιον καταφορικὸν mg. Lut. 18) περιβολὴν tr. Indices Ald. Paul. Felic. Herv. 19) Ita Iurinus, Bu. Be., τὸ γὰρ οὐ πρὸς vulg. 20) ἡμαρτηκότα (αὐτὸν) δείκνυσι Bu. Fortasse scripsit: καὶ τὸ ἀεὶ καὶ οὐ πρὸς ἅπαξ τὴν μελέτην τῆς ἀτοπίας καὶ μὴ ἐκ τύχης ἡμ. δείκν. 21) ταῦτα] εἰσὶ ταῦτα Lut. Reisk.

τι, μία [1]) τῶν ἀντιθετικῶν, μεθ' ἣν [2]) τὸ μεταληπτικὸν καὶ ἀντιληπτικόν. ἐνταῦθα διὰ τεσσάρων ὅρων ὁ ῥήτωρ [3]) ἐμπλέκει τὴν κατηγορίαν, δεικνύων ὅτι δημοσίᾳ [4]) Μειδίας ἠδίκησεν. ἔστι δὲ ὁ πρῶτος ὅρος οὗτος, ὅτι οἱ ἐν ἑορτῇ ἀδικοῦντες δημόσιον ἀδίκημα ποιοῦσι. δεύτερος ὅρος, καὶ μάλιστα εἰ χορηγοὶ ἀδικοῦνται. [5]) τρίτος ὅρος, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστιν ἀδίκημα. παραλογίζεται δὲ ἐνταῦθα [6]) ἐκ τῆς ὁμωνυμίας τῆς ὕβρεως· λέγεται γὰρ ὕβρις ἡ δι' αἰσχρουργίας [7]) καὶ ἡ διὰ λόγων καὶ ἡ διὰ πληγῶν· δημόσιον δὲ ἀδίκημα ἡγοῦντο τὴν αἰσχρουργίαν· τῇ οὖν ὁμωνυμίᾳ παρελογίσατο. τέταρτος ὅρος, ὅτι ὁ πάντας ἀεὶ ὑβρίζων δημοσίᾳ [8]) ἀδικεῖ· εἰ γὰρ τὸ δημόσιον ἐκ πάντων συνίσταται, ἄρα δημόσιον τἀδίκημα. τίθησι δὲ σπερματικῶς ἐν τῷ προοιμίῳ τοὺς τέτταρας ὅρους· ἐκ τούτων εἰσὶν ἐν τοῖς ἀγῶσι τρεῖς, τὸν δὲ τέταρτον [9]) τίθησιν ἐν τῇ παρεκβάσει, δικαίως· [10]) λέγων γάρ, ὅτι ὁ [11]) πάντας ὑβρίζων δημοσίᾳ ἀδικεῖ, παρεξέρχεται, [12]) λέγων τὸν πρότερον αὐτοῦ βίον. ἔχει δὲ ὁ [13]) λόγος οὗτος [14]) δύο προοίμια, τὸ πρῶτον [15]) ἐκ διαβολῆς εἰλημμένον τοῦ ἐναντίου καὶ ἐκ συστάσεως τοῦ οἰκείου [16]) προςώπου καὶ ἐκ προςοχῆς. ἔστι δὲ ἡ πρότασις διμερής, καὶ τὸ μὲν πρῶτον μέρος ἀκατάσκευον, τὸ δὲ δεύτερον καὶ αὐτὸ διμερές. καὶ κατασκευάζει τούτων ἑκάτερα. εἶτα ἐπιφέρει τὸ συμπέρασμα, ἐν ᾧ ἐστιν ἡ προσοχή.

Ὅρος κατὰ σύλληψιν. λέγεται δὲ οὕτως, [17]) ὅταν τοῦ 514
φεύγοντος ἀντονομάζοντος ὁ διώκων καὶ τούτῳ κἀκεί- R.

---

1) μία] καὶ μία Lut. Reisk. Bu. 2) ἣν] ἣν ἐμπίπτει Lut. Reisk. Bu. 3) ῥήτορ Herv., δημοσθένης mg. Lut. 4) δημοσία M. ἠδίκισεν. ἔστη Herv. 5) εἰ χ. ἀ.] Ita de coni. scripsi, οἱ χ. ἀ. vulg., ἐὰν οἱ χ. ἀ. Wolf. Tayl., ἐὰν οἱ χορηγοὶ ἀδικῶνται coni. Markl., οἱ χορηγὸν ἀδικοῦντες mg. Lut. Bu. Be. 6) ἐνταῦθ' Reisk. Be. 7) αἰσχρολογίας tv. Vind. Indices Ald. Herv. Wolf., αἰσχρολογίας γινομένη· λέγεται ὕβρις καὶ ἡ διὰ λόγων· λέγεται πάλιν ὕβρις καὶ ἡ διὰ πληγῶν mg. Lut. 8) δημοσία Herv. 9) τέταρτον] τέταρτον ὅρον Lut. Reisk. Bu. 10) δικαίως] καὶ δικ. Lut. Reisk. Bu. 11) ὁ addiderunt Bu. Be. 12) Ita Par. 1. 2. Bu. Be., πραεξέρχεται vulg. 13) ὁ] ὁ παρὼν Lut. Reisk. Bu. 14) οὗτος om. Par. 1. Bu. 15) καὶ εἴληπται τὸ πρῶτον προοίμιον ἐκ διαβ. τ. ἐ. mg. Lut. 16) οἰκίου Herv. 17) οὗτος coni. Markl.

νῳ [1]) ὑπεύθυνον αὐτὸν εἶναι λέγῃ τῷ ὀνόματι, ὥστε διπλοῦς [2]) ἐστιν, ἐπεὶ δύο περιέχει [3]) ἐγκλήματα. παράδειγμα ὁ στρατηγὸς ὁ βιασάμενος τὴν παρατεθεῖσαν [4]) κόρην ὑπὸ τοῦ πρεσβευτοῦ, καὶ δημοσίων ἀδικημάτων κρινόμενος, καὶ ἀποκρινόμενος μὴ δημοσίᾳ ἠδικηκέναι ἀλλὰ βιάσασθαι, ὁ δὲ πρεσβευτὴς ἀμφοτέροις αὐτὸν φάσκων ὑπεύθυνον εἶναι. τὸ προοίμιον ἀπὸ τοῦ ἀντιδίκου, ὁ δὲ λόγος δι' ἑνὸς εἴδους προάγεται, ἤτοι [5]) δικανικοῦ· τούτου γὰρ καὶ τὸ τέλος τὸ δίκαιον καὶ ἡ κατασκευὴ διὰ τοῦ δικαίου.

---

463 Bk. Τὴν μὲν ἀσέλγειαν [6]) ὦ ἄνδρες δικασταὶ [7]) καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας, οὐδένα οὐθ' [8]) ὑμῶν

---

## ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΜΕΙΔΙΟΥ ΔΗΜΟΣΘΕΝΟΥΣ ΛΟΓΟΝ ΕΞΗΓΗΣΙΣ.

Τὴν μὲν ἀσέλγειαν ὦ ἄνδρες δικασταὶ καὶ τὴν ὕβριν, ᾗ πρὸς ἅπαντας ἀεὶ χρῆται Μειδίας οὐδένα οὐθ' ὑμῶν οὔτε ἄλλων τῶν πολιτῶν ἀγνοεῖν οἴομαι.] Τὸ [1]) προοίμιον ἐξ ὑπολήψεως ἐκ [2]) τοῦ κατηγόρου κατ' [3]) αὐτοῦ τοῦ τὸ [4]) ἔγκλημα ἔχοντος. Ἔνθα φησὶν Ἑρμογένης, ὅτι περὶ αὐτῶν [5]) ὑπολήψεις ἢ χρησταὶ συνίστανται ἢ πονηραί. Κατηγοροῦντες οὖν [6]) τὰς φύσει προσούσας φαύλας βεβαιώσομεν, [7]) τὰς δὲ χρηστὰς διαλύσομεν. Ἐνταῦθα [8]) οὖν ὁ ῥή-

1) Τὸ προαίμιον — Σέλγης] Haec in Herv. bis leguntur, semel post absolutam hypothesin, semel in scholiorum initio. — Τὸ προοίμιον — μέμνηται extant etiam in Bav. 2) ἐκ om. Lut. 3) κατ'] καὶ mg. Lut. 4) τοῦ τὸ] Ita Bav. Herv. priore loco, τοῦτο Lut., τοῦ om. vulg. 5) αὐτῶν] Malim ἀνδρῶν. 6) οὖν] οὖν μὲν Bav. 7) βεβαιώσομεν (ω) — διαλύσομεν (ω) Bav. 8) ἐνταῦτά Herv. priore loco.

---

1) κἀκείνω Herv. Wolf. 2) Ita Bu. Be., διπλῶς vulg. 3) περιέχῃ Herv. Wolf. 4) παρακαταθεῖσαν mg. Lut., παρακατατεθεῖσαν Bu. 5) ἤτοι] τοῦ coni. Bu., malim ἤγουν τοῦ. 6) Τὴν μὲν — οἶμαι Rufus de figur. p.76., — χρῆται Bekk. Anecd. 1. 451. 13, 7) ὦ δικασταὶ K, ὦ ἀθηναῖοι r. Ruf., ἀεὶ Anecd. 8) οὐθ' om. Ruf.

οὔτε τῶν ἄλλων πολιτῶν ἀγνοεῖν οἶμαι.[1]) ἐγὼ δ', ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος ὑβρισθεὶς[2]) προείλετο πρᾶξαι, τοῦτο καὶ

---

τωρ τὰς φαύλας βεβαιοῖ, τῶν δὲ χρηστῶν οὐ μέμνηται· ὡς ὁμολογούμενον δὲ παρὰ πάντων θεὶς, ἀφῆκε τὴν κατασκευὴν ἀναγκαίως. οὐ γὰρ ἀμφίβολον.[1]) παθητικὸν δὲ τὸ προοίμιον ἀλγοῦντος ἐπὶ τῇ τοῦ Μειδίου ὕβρει. Ζητήσειε δ' ἄν τις, ὅπως δημοσίᾳ κρίνων αὐτὸν ὕβρεως ἐμνημόνευσε. Καὶ ῥητέον, ὅτι βούλεται πᾶσαν ὕβριν δημοσίαν ἐπιδεῖξαι καὶ μάλιστα τὴν Μειδίου. εἰ γὰρ καθ' ἕνα πάντας ὑβρίζει, ἐκ δὲ τῶν καθ' ἕνα πόλις, δηλονότι δημοσίᾳ ἀδικεῖ. καταφορικῇ δὲ κέχρηται τῇ προτάσει διὰ τὴν ποιότητα τοῦ Μειδίου. πλούσιος γὰρ καὶ μεγαλόφρων· οἱ δὲ τοιοῦτοι μείζους εἰσὶ τῶν πολλῶν, καὶ ὡς τυραννικοὶ διαβέβληνται. διὸ δὴ καὶ εἶπεν, ὅτι πάντας ὑβρίζει, τὸ τῶν τυράννων ἴδιον αὐτοῦ κατηγορῶν. εἰςφέροντες δέ τινες ἡμῖν καινὸν ὄνομα λέγουσιν, ὅτι τὴν ἀσέλγειαν ἐνταῦθα ἔλαβεν ἐπὶ τῆς αἰσχρουργίας. φαμὲν δὲ καὶ ἡμεῖς, ὅτι ἀσελγὴς λέγεται ὁ μὴ μετέχων μήτε δικαιοσύνης μήτε ἀρετῆς. Σέλγη γάρ ἐστι μία πόλις τῆς Παμφυλίας, ἐν ᾗ πάντες δίκαιοι ἦσαν καὶ ἀρετῆς ἀνάμεστοι. ἀσελγὴς οὖν ὁ μὴ μετέχων τῆς Σέλγης.

*Ἐγὼ δ', ὅπερ ἂν καὶ ὑμῶν ἕκαστος.*] Ἐντεῦθεν τὸ πρῶτον μέρος τοῦ δευτέρου μέρους τῆς προτάσεως. ἐπειδὴ δὲ διαβάλλων εἰς δεινότητα αὐτὸν ὁ Μειδίας ἔλεγεν,[2]) οὐδὲν πέπονθε δεινόν, ἀλλὰ τῇ τέχνῃ θαῤῥῶν ἐπαίρει τὰ πράγματα καὶ τὰ μικρὰ μεγάλα ποιεῖ, διὰ τοῦτο ἐπιείκειαν καὶ μετριότητα ὑποκρίνεται λέγων, ὃ καὶ ὑμῶν ἕκαστος ἂν ἐποίησεν ὑβρισθείς, τοῦτο κἀγὼ νῦν ἐποίησα, ὁ νομιζόμενος ῥήτωρ.

*Τοῦτο καὶ αὐτὸς ἐποίησα.*] Ἐκεῖνον[3]) μὲν τυραννικόν, ἑαυτὸν δὲ ὡς ἕνα τῶν πολλῶν[4]) ἐπιδεικνύμενος.

1) Ita W. de coni. et Lut., ἀμφίσβολον vulg., ἠμφίβαλον mg. Lut.
2) Post ἔλεγεν Lut. addit ὅτι. 3) Ita W. et Lut., ἐκεῖνο vulg.
4) Ita Par. 1., πολλῶν ἄξιον ἐπιδ. vulg., πολ. ὄντα ἐπιδ. W. de coni.

---

1) Ita Be ex FΣK et compluribus, οἴομαι vulg. 2) Ita W. addicentibus libris fere omnibus, ὅπερ ἂν ὑμῶν ἕκαστος καὶ ὑβρισθεὶς vulg. ante W., Schaeferus, καὶ ante ὑμῶν, quod statim sequatur καὶ αὐτὸς, abesse mavult. Verum hoc est „etiam", illud „vel".

αὐτὸς ἐποίησα, καὶ προὐβαλόμην [1]) ἀδικεῖν τουτονὶ [2]) περὶ τὴν ἑορτήν, οὐ μόνον πληγὰς ὑπ' αὐτοῦ λαβὼν τοῖς Διονυσίοις, ἀλλὰ καὶ ἄλλα πολλὰ καὶ βίαια παθὼν πα-
2 ρὰ πᾶσαν τὴν χορηγίαν. ἐπειδὴ δὲ καλῶς καὶ τὰ δίκαια b Bn.

---

*Καὶ προὐβαλόμην [1]) ἀδικεῖν τουτονὶ περὶ τὴν ἑορτήν.*] Ἀντὶ τοῦ εἰςήγαγον. ἔδειξε δὲ ἐκ τούτου, τίνος κρίνει τὸν Μειδίαν. οὐ γὰρ εἶπεν ἀσεβεῖν ἀλλ' ἀδικεῖν περὶ τὴν ἑορτήν. τοῦτο δὲ δημόσιον.[2]) προβολὴ γάρ ἐστιν ὄνομα δίκης κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. (Ἀντὶ τοῦ προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. ἐν δὲ τῷ ὑπὲρ Κτησιφῶντος καὶ τῷ κατ' Αἰσχίνου τὴν προαίρεσίν φησι τῆς πολιτείας προβεβλημένην, [3]) ἀντὶ τοῦ ἄπιστον εἰπεῖν καὶ ἐλαφρῶς ἔχουσαν. B.)

*Οὐ μόνον πληγάς.*] Ἐντεῦθέν ἐστιν ἡ κατασκευὴ τοῦ πρώτου μέρους τῆς προτάσεως. διὰ μὲν γὰρ τοῦ λέγειν „τοῖς Διονυσίοις" συνάπτει τὸ δημόσιον. καὶ τὸ „βίαια δὲ παθὼν παρὰ πᾶσαν τὴν χορηγίαν" οὕτως ἔχει. συνῆπται γὰρ πάλιν ἀμφότερα καὶ τὸ ἴδιον καὶ τὸ δημόσιον. δόξειε δ' ἂν ὡς ἔλαττον προτιθέναι τὸ [4]) τῶν πληγῶν. ἔχει δὲ οὐχ οὕτως, ἀλλὰ διὰ τῆς τοιαύτης συνθέσεως ἀντίπιπτον [5]) ὑποτέμνεται καὶ προλύει τὸ συγγνωμονικόν, ὅτι δι' ὀργὴν ἔπληξα. εἰ γὰρ καὶ ἄλλα πολλὰ καὶ βίαια πρὸ τῆς ἑορτῆς πεποίηκε, πρόδηλον, ὅτι οὐ δι' ὀργήν, ἀλλ' ἐκ προνοίας.

*Ἐπειδὴ δὲ καλῶς καὶ τὰ δίκαια ποιῶν.*] Ἐντεῦθεν τὸ δεύτερον τοῦ δευτέρου μέρους τῆς προτάσεως. σχεδὸν δὲ ὥςπερ ἀσύστατον καὶ μονομερῆ τὸν λόγον ἀπεργάζεται. εἰ γὰρ φθάνει προκατεγνωσμένος [6]) ὑπὸ παντὸς

1) προὐβαλόμην W., προὐλαβόμην vulg. 2) Ita W. et. Lut., δὲ om. vulg., τοῦτο δὲ δημόσιον ἀδίκημα coni. W. 3) Non in oratione pro Ctesiph. sed de f. l. 349, 15. haec extant. Hausta est vero haec Bavarici glossa ex Harpocr., unde facili opera possit emendari. 4) τὸ add. W. de coni. 5) cf. ad §. 9, 6. 6) προκατεγνωμένος Herv.

---

1) προὐβαλλόμην r. προὐβαλόμην — ἑορτήν Harpocr. Phot. Suid. (in hoc est προὐβαλλόμ.) s. v. προβαλλόμενος. 2) τοῦτον ΠΣ Phot., τοῦτον ἀδικεῖν Suid.

ποιῶν ὁ δῆμος ἅπας οὕτως ὠργίσθη καὶ παρωξύνθη καὶ σφόδρα ἐσπούδασεν ἐφ᾽ οἷς ἠδικημένῳ μοι [1]) συνῄδει, ὥςτε πάντα ποιοῦντος τούτου καί τινων ἄλλων ὑπὲρ αὐτοῦ 515
οὐκ ἐπείσθη, οὐδ᾽ ἀπέβλεψεν [2]) εἰς τὰς οὐσίας τὰς τούτων R.

---

τοῦ δήμου, πρόδηλον, ὅτι οὐδεμίαν ἔχει ἀπολογίαν. δεῖ δὲ τὸν κατήγορον, κἂν μὴ οὕτως ἔχῃ τὰ πράγματα, πειρᾶσθαι μονομερῆ τὸν λόγον ποιεῖν, ἵνα οἱ δικασταὶ ὡς ἐφ᾽ ὁμολογουμένοις καταψηφίσωνται.

Ὁ δῆμος ἅπας.] Κἀνταῦθα πάλιν ἀντίθεσιν προλέλυκεν. φησὶ γὰρ ὁ Μειδίας, [1]) ὅτι χορευταὶ καὶ ξένοι καὶ τοιοῦτοί τινες κατεχειροτόνησαν. ὁ δὲ προλαβών φησιν, ὅτι ὁ δῆμος ἅπας, καὶ δείκνυσιν οὐ μόνον τὸν δῆμον ἀλλὰ καὶ τοὺς δικαστὰς αὐτοῦ κατεγνωκότας. εἰ γὰρ μέρος οἱ δικασταὶ τοῦ δήμου, πρόδηλον, ὅτι κἀκεῖνοι συγκατέγνωσαν.

Καὶ σφόδρα.] Ἵνα δόξῃ κατεγνωκέναι ὁ δῆμος „καὶ σφόδρα" μετ᾽ ἐπιτάσεως εἶπε, καὶ ὅτι οὐ δεινότητι τῇ ἐμῇ παραχθείς, „ἐφ᾽ οἷς ἠδικημένῳ μοι". [2])

Ὥςτε πάντα ποιοῦντος τούτου] σφόδρα βιαίως οὐ μόνον δικαστὰς καὶ δῆμον ἀλλὰ καὶ αὐτὸν ἑαυτοῦ κατεγνωκότα πεποίηκεν. εἰ γὰρ καὶ ἱκέτευεν, πρόδηλον, ὅτι κατέγνωκεν ἑαυτοῦ. τὸ γὰρ ἱκετεύειν τῶν ἑαλωκότων.

Καί τινων ἄλλων ὑπὲρ αὐτοῦ.] Προδιαβάλλει τοὺς μάρτυρας τοῦ Μειδίου ὡς καὶ αὐτούς [3]) συγκατεγνωκότας. προϊὼν γάρ φησιν, [4]) „Εὐκτήμων ὁ κονιορτὸς καὶ τοιαύτη τίς ἐστι περὶ αὐτὸν μαρτύρων συνεστῶσα ἑταιρία." πῶς [5]) δύνανται τἀληθῆ μαρτυρεῖν οἱ μετ᾽ αὐτοῦ συνικετεύοντες;

Οὐκ ἐπείσθη.] Ἐπαινεῖ τὸν δῆμον ὡς πάντων καταφρονήσαντα ἕνεκα τῶν δικαίων· ὑφορᾶται δὲ τοὺς δικαστὰς μὶ [6]) χρήμασι πεισθέντες καταχαρίσωνται τὸν

1) cf. §. 193. 2) προςέθηκεν addit Lut. post μοι. fortasse εἶπε repetendum ex superioribus. 3) Ita W., ἑαυτοὺς vulg., fortasse: αὐτοὺς αὐτοῦ. 4) cf. §. 139. 5) πῶς οὖν δύν. W. de coni. 6) μὴ add. W. de coni. et Lut., proclivius est, revocare hanc particulam ex sequentibus μὴ λέγων, cuius loco scribendum videtur: λέγων οὖν οὐ φαν.

---

1) μοι om. Bav. F. 2) ὑπέβλεψεν r.

οὐδὲ τὰς ὑποσχέσεις, ἀλλὰ μιᾷ γνώμῃ κατεχειροτόνησεν αὐτοῦ· πολλοί μοι προσιόντες ὦ ἄνδρες[1]) δικασταὶ καὶ

ἀγῶνα τῷ Μειδίᾳ. μὴ λέγων οὖν φανερῶς, θεραπεύει τὸ λυποῦν. εἰ δὲ ὁ δῆμος οὐ [1]) προσήκατο τὰς ὑποσχέσεις, οὐδ' εἰς τὸν πλοῦτον [2]) ἀπέβλεψεν, οὐδὲ ταῖς φανεραῖς ὑποσχέσεσιν ἡττήθη, πόσῳ μᾶλλον ὑμεῖς [3]) ὀφείλετε κρύφα γεγενημέναις; τίνες δὲ ἦσαν αἱ πρὸς τὸν δῆμον ὑποσχέσεις; ἡμεῖς εἰσοίσομεν, τριηραρχήσομεν. [4]) ὅτι δὲ ψευδεῖς αἱ ὑποσχέσεις, προϊὼν φησιν, [5]) „ἐμὲ οἴεσθαι ὑμῖν εἰσοίσειν, ὑμᾶς δὲ νομεῖσθαι."

*Ἀλλὰ μιᾷ γνώμῃ.*] Οὐδεὶς διεσφάλη τοῦ πρέποντος, οὐδεὶς ἠγνόησε τὸ εἰκός· τότε πρῶτον ὁ πᾶς δῆμος μιᾶς ἐγένετο γνώμης, ἵν' ἕκαστος καταψηφίσηται τοῦ Μειδίου, ἢ φοβούμενος, ἢ αἰσχυνόμενος μὴ [6]) τἀναντία τοῖς ἄλλοις γνῶναι.

(*Κατεχειροτόνησεν.* [7])] Ἀντὶ τοῦ κατεψηφίσατο αὐτοῦ. καταχειροτονία δὲ καὶ ἀποχειροτονία διαφέρει. καταχειροτονία μὲν γὰρ ἐγένετο οὕτως· ἔλεγεν ὁ κήρυξ, ὅτῳ Μειδίας δοκεῖ ἀδικεῖν, ἀράτω τὴν χεῖρα· εἶτα οἱ θέλοντες ἐξέτεινον τὰς χεῖρας· καὶ ἐκαλεῖτο τοῦτο πρῶτον καταχειροτονία. ἀποχειροτονία δὲ οὕτως· ὅτῳ μὴ δοκεῖ ἀδικεῖν Μειδίας, ἀράτω τὴν χεῖρα, καὶ ἐξέτεινόν τινες, καὶ ἐκαλεῖτο ἀποχειροτονία. λοιπὸν πάσας ἠρίθμουν τὰς χεῖρας, καὶ ἑώρα ὁ κήρυξ, ποῖαι πλείους εἰσίν, πότερον τῶν φασκόντων αὐτὸν ἀδικεῖν, ἢ μή· [8]) καὶ ὅσαι ἂν ἦσαν πλείους εὑρεθεῖσαι, ἐκεῖ [9]) καὶ ἡ γνώμη ἐκράτει. B.)

*Πολλοί μοι προσιόντες ὦ ἄνδρες δικασταί.*] Ἀπίθανον ἂν [10]) ἔδοξε τὸ νόημα, ὅτι καὶ οἱ δικασταὶ παρώξυνον [11]) εἰς τὴν κατηγορίαν, εἰ μὴ προλαβὼν εὐθὺς ἐν ἀρχῇ πάντας ἦν δείξας ὑβρισμένους.

1) οὐ add. W. et Lut. 2) πλοῦτον] Ita W. et mg. Lut., δῆμον vulg. 3) ὑμεῖς] ὑμεῖς οὐκ W., non monito lectore. 4) τριηρ.] ἡμεῖς τριηρ. W. non monito lectore, fortasse motus iis, quae §. 153. leguntur. 5) cf. §. 293., unde haec emendarunt W. et Lut. 6) μὴ] erat ἢ, om. W. et Lut. 7) Eadem haec leguntur ap. Suid. et Phot. s. v. κατεχειροτόνησεν. 8) i. e. ἢ τῶν μή. 9) ἐκεῖ καὶ] Malui ἐκείνων, sed non opus est mutatione. 10) Addidi ἄν. 11) Ita W. et mg. Lut., παρωξύνοντος vulg., παρωξύνοντο Lut.

1) ἄνδρες om. r.

τῶν ἐν τῷ δικαστηρίῳ νῦν ὄντων ὑμῶν καὶ τῶν ἄλλων πολιτῶν ἠξίουν καὶ παρεκελεύοντο ἐπεξελθεῖν καὶ παραδοῦναι τοῦτον εἰς ὑμᾶς, ὡς μὲν ἐμοὶ δοκεῖ, δι' ἀμφότερα ὦ ἄνδρες Ἀθηναῖοι [1]), νὴ τους θεοὺς καὶ δεινὰ πεπονθέναι νομίζοντες ἐμέ, καὶ δίκην ἅμα βουλόμενοι λαβεῖν, ὧν ἐπὶ τῶν ἄλλων ἐτεθέαντο θρασὺν ὄντα καὶ βδελυρὸν καὶ οὐδὲ
4 καθεκτὸν ἔτι. οὕτω δὲ τούτων ἐχόντων, ὅσα μὲν [2]) παρ' Bu. 2.

---

Ὡς 1) ἐμοὶ δοκεῖ.] Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ δευτέρου μέρους τῆς προτάσεως. τὸ ἀπίθανον δὲ τῆς προτάσεως ὅρκῳ διέλυσε. καὶ ἵνα μή τισιν ἐπίορκος δόξῃ, τὸ στοχαστικὸν προςέθηκεν.

Ὃν 2) ἐπὶ τῶν ἄλλων ἐτεθέαντο.] Ἀντικρὺς διὰ τούτων αἰνίττεται τὸν τύραννον. εἰ γὰρ ἐν δημοκρατίᾳ ζῶν οὐκ ἔστι καθεκτός, τί ἄλλο ἢ τύραννος ὁ τοιοῦτος; προθεὶς 3) δὲ τὸ ἰδιωτικὸν τὸ 4) καθ' ἑαυτὸν ὅτι δεινὰ πέπονθεν, ἐπήγαγε τὸ δημόσιον, ὅτι καὶ ὑπὲρ τῶν ἄλλων ἠβούλεσθε 5) δίκην λαβεῖν.

Οὕτω δὲ τούτων ἐχόντων.] Οὐ 6) δεύτερον τοῦτο προοίμιον, ὥς τινες ᾠήθησαν, ἀλλὰ συμπέρασμα τῶν κειμένων ἐν τῷ πρώτῳ μέρει τοῦ προοιμίου. 7) ἐντεῦθεν 8) τοίνυν ἐστὶ τὸ συμπέρασμα τοῦ προοιμίου, ἐν ᾧ ἐστι καὶ ἡ προσοχή. ἔχει δὲ κατασκευῆς δύναμιν τὸ τελευταῖον μέρος τοῦ προοιμίου. δύο γὰρ εἰσὶν ἐν τῷ λόγῳ προκατασκευαί, μία μέν, ὥςτε μὴ ἰδιωτικὸν νομισθῆναι τὸν ἀγῶνα, ἣν διὰ τῆς ἀναγνώσεως τῶν νόμων κατέσκευασεν, ἑτέρα δέ, ὥςτε μὴ πεισθέντας τοὺς δικαστὰς προδοῦναι τὸν ἀγῶνα. τούτων γὰρ ὁπότερον ἂν συμβῇ, οἴχεται τὰ τῆς κατηγορίας τῷ ῥήτορι, καὶ διὰ τοῦτο μακρότερον δοκεῖ γεγενῆσθαι τὸ προοίμιον, ὥστε τὴν ἐπιθυμίαν τὴν κατὰ τὰ χρήματα τῶν δικαστῶν ἐξελεῖν. (συμπέρασμα τῶν κειμένων ἐν τῷ πρώτῳ μέρει τοῦ προοιμίου. B.)

Ὅσα μὲν οὖν.] Τουτέστιν ἐπείσθην ὑμῖν. κατη-

1) ὡς μὲν ἐμοὶ Lut. 2) ὃν] ὧν Lut. 3) Erat προςθείς. 4) Ita W. mg. Lut., τῷ vulg. 5) ἠβούλεσθε] Ita W. et Lut., εἰ βούλ. vulg. 6) οὐ om. Herv. 7) Quae hic interposita legebantur εἰςαγωγὴ — εἰςαγόντων cum Bav. relegavi ad §. 3, 3. 8) Ita W., τοίν. ἐντ. vulg.

---

1) ἀθηναῖοι] δικασταὶ Aug. om. r. 2) ὅσα μὲν] ὅσα μὲν οὖν Lut., οὖν uncis circumscripsit Reisk. tuetur Bu.

ἐμοῦ προςῆκε φυλαχθῆναι, πάντα δικαίως ὑμῖν [1]) τετήρηται, καὶ κατηγορήσων, ἐπειδή τις εἰςάγει, πάρειμι, ὡς ὁρᾶτε, πολλὰ μὲν ὦ ἄνδρες Ἀθηναῖοι [2]) χρήματ', ἐξόν μοι λαβεῖν ὥςτε μὴ κατηγορεῖν, οὐ λαβών, πολλὰς δὲ δεή-
4 σεις καὶ χάριτας καὶ νὴ Δί' ἀπειλὰς ὑπομείνας. ἃ δ' ἐν b.

---

γορῶν, [1]) πάντα δείξω τετηρημένα, οὐ προὔδωκα τὴν κατηγορίαν δι' ὑμᾶς, οὐδὲ χρήμασιν ἐπείσθην. μὴ τοίνυν μήδ' ὑμεῖς. καὶ τὸ μὲν ἀκόλουθον τοῦτο ἦν. ὁ δὲ ἀπεσιώπησεν ὑπὲρ τοῦ μὴ προδήλως ἐξελέγχειν τοὺς δικαστάς. φιλονεικοτέρους γὰρ ἂν αὐτοὺς κατέστησεν.

Ἐπειδή τις εἰςάγει.] Μετὰ γὰρ τὸ ἀποκληρωθῆναι τὸ δικαστήριον ἐδίδοντο τοῖς θεσμοθέταις αἱ γραφαί, κἀκεῖνοι ἠρώτων λοιπόν, βούλει κατηγορεῖν; ἢ μάρτυρας ἔχεις [2]) εἰς τὰς ἀποδείξεις ἑτοίμους; καὶ εἰ συνέφησεν, [3]) οὕτως ἤδη λοιπὸν εἰςήγετο. τοῦτό ἐστι τὸ ἐπειδή τις εἰςάγει. ἄρχοντες δὲ ἦσαν οἱ ἐν ἑκάστῳ δικαστηρίῳ τὰς κρίσεις εἰςάγοντες. (Εἰςαγωγὴ γάρ ἐστιν Ἀθήνησιν ἀρχὴ τῶν τὰ ἐγκλήματα εἰςαγόντων. B.)

Πολλὰ μὲν ὦ ἄνδρες Ἀθηναῖοι.] Πόῤῥωθεν ἀποτρέπει τοῦ λήμματος τοὺς δικαστάς. εἰ γὰρ ἐγὼ πολλὰ λαμβάνων οὐκ ἐδεξάμην, πῶς υμεῖς ὀλίγα; πρόδηλον [4]), ὅτι ἑνὶ μὲν διδοὺς καὶ αὐτῷ τῷ πεπονθότι πολλὰ ἠδύνατο δοῦναι, τοῖς δὲ δικασταῖς πολλοῖς οὖσιν οὐκ ἠδύνατο πολλὰ ὑποσχέσθαι. κἀμοὶ μὲν ἐξὸν ἦν λαβεῖν, ὑμῖν δὲ ὑπισχνεῖται μόνον, κἀγὼ μέν, ὁ πεπονθώς, δι' ὑμᾶς οὐκ ἔλαβον, ὑμεῖς δέ, οἱ μηδέν τι πεπονθότες, κατ' ἐμοῦ λήψεσθε;

Πολλὰς δὲ δεήσεις.] Οὐ πρὸς τὰς δεήσεις ἀλλὰ πρὸς τὰς ἀπειλὰς κυρίως τὸ ὑπομείνας. σώζεται δὲ κατὰ φύσιν ἡ τάξις. πρῶτον γάρ τις ἱκετεύει, εἶτα μὴ τυχών, χρῆται ταῖς ἀπειλαῖς.

Ἃ δ' ἐν ὑμῖν μετὰ ταῦτά ἐστιν ὑπόλοιπα.] Τὸ λοιπὸν ἀπεσιώπησε, μὴ βουλόμενος φανερῶς ἐγκαλέσαι τοῖς δικασταῖς, καὶ διὰ τοῦτο τὰ ἑξῆς ἀκαταλλήλως

1) κατηγ.] καὶ κατ. Lut. 2) Ita W. et Lut. ἔχει vulg. 3) συνέφηκεν Herv. 4) πρόδηλον γὰρ ὅτι Lut.

---

1) ἡμῖν mg. Lut., Weimar. Paul., ἐμοὶ r. 2) ἀθηναῖοι om. r.

ὑμῖν μετὰ ταῦτά ἐστιν ὑπόλοιπα, ὅσῳ [1]) πλείοσιν οὗτος ἠνώχληκε καὶ παρήγγελκεν [2]) (ἑώρων γὰρ αὐτὸν ἄρτι πρὸ τῶν δικαστηρίων, οἷα ἐποίει), τοσούτῳ [3]) μᾶλλον ἐλπίζω
464 Bk. τὸ δίκαιον [4]) ἕξειν. οὐ γὰρ ἂν [5]) καταγνοίην ὑμῶν οὐδενός, c.

---

ἀπήγγειλεν, ἵνα μηδεὶς ἀπαιτήσῃ τὸ ἀκόλουθον. τὴν γὰρ τάξιν ἐνήλλαξε καί φησιν·

*Ὅσῳ [1]) πλείοσιν ἠνώχληκεν.*]' Ἔθος δὲ ἔχει ὁ ῥήτωρ ὀχλήσεις καλεῖν τὰς γινομένας τοῖς δικασταῖς ἀξιώσεις. ἔστιν οὖν ἀπηρτημένος ὁ λόγος. ἠκολούθησε γὰρ οὕτως ἂν ὁ νοῦς. ὅσῳ δὲ πλείοσιν οὗτος ἠνώχλησε, τοσούτῳ προσδοκῶ λήψεται [2]) τὴν ψῆφον. οἱ γὰρ ἀναισχυντοῦντες ἐν ταῖς παρακλήσεσιν [3]) οὐχ ἡδέως αὐτὰς ποιοῦνται τοῖς ὑπομένουσιν. ἐπέτεινε δὲ καὶ ἐμήκυνε τὸ προοίμιον ὁ ῥήτωρ, ἐπισυνάγων τὰ νοήματα, διὰ τὸ θυμικὸν περιγράφειν αὐτὰ [4]) οὐκ ἰσχύσας, ἵνα τῇ ῥύμῃ [5]) τοῦ πάθους ἀκολουθήσας ὁ λόγος ἀπορήσῃ, ποίαν τελευτὴν [6]) ποιήσεται.

*Οὐ γὰρ ἂν καταγνοίην.*] Πληρώσας τὴν προκατασκευὴν [7]) ἐν [8]) προοιμίῳ, διπλοῦν ἐπήγαγε [9]) συμπέρασμα, τὸ μὲν εἰς τὴν πρώτην πρότασιν, ὅτι πάντας ὑβρίζει Μειδίας, [10]) καὶ οὐ χρὴ συγχωρῆσαι ὥστε καὶ τὸ λοιπὸν ἀδεῶς ὑβρίζειν, τὸ δὲ εἰς τὴν προκατασκευήν, τουτέστιν, ὅτι [11]) μὴ ἐναντία ποιήσητε χρήματα λαβόντες οἷς πρότερον ἠξιοῦτε καὶ ἐτελεύτησεν αὐτῷ [12]) τὸ συμπέρασμα εἰς τελικὸν κεφάλαιον, τὸ συμφέρον. διὰ τοῦτο [13]) φαμὲν συγγένειαν ἔχειν τὰ προοίμια πρὸς τοὺς ἐπιλόγους, διότι

1) ἴσῳ γὰρ πλ. Lut. 2) τοσούτῳ] μᾶλλον προσδοκᾷ λήψεσθαι W., τοσ. μ. προσδοκῶ λήψεσθαι Lut., τοσούτω Ald. Herv. 3) Ita W. et Lut. παρακλίσεσιν Ald. Herv. 4) Erat αὐτάς. 5) Ita W. et Lut., ῥήμῃ vulg. 6) τελετὴν Lut. 7) κατασκευὴν Bav. 8) ἐν] ἐν τῷ Bav. 9) ἐπήγαγε] ἐπήγ. τὸ Bav. 10) Μειδίας] μεθ' ὧν Bav. 11) τουτέστιν ὅτι] ἵνα Bav. 12) αὐτοῦ Bav. 13) τοῦτο γὰρ φαμὲν Lut. Bav.

---

1) Ita Aug. Bav. Ven. Barocc. Par. 1. Reisk. Be., ὅσῳ (ὅσω Hervag.) γὰρ πλ. ΥΩstv. et vulg. ante Reisk., vulgatam tuetur Bu., Spald. coni.: ἃ δ' ἐν ὑμῖν, ταῦτά ἐ. ὑπόλ. ὅσῳ γάρ. 2) Ita Bav. Par. 5. FΠ Sp. Bu., probat Schaef., παρήγγειλεν vulg., περιήγγελκεν Aug. ΣΥΩkr. Be. περιήγγειλεν stv. (Par. 1. 2.) 3) τοσοῦτο Ω. 4) τὸ δίκ. ἐλπ. r. 5) ἂν om. k.

οὐθ᾽ ὡς, περὶ ὧν πρὸς ἐμὲ ἐσπουδάσατε αὐτοὶ πρότερον, 1)
τούτων ἀμελήσετε, οὐθ᾽ ὡς ἵνα Μειδίας ἀδεῶς τὸ λοιπὸν 2)
ὑβρίζῃ, ψηφιεῖταί τις ὑμῶν ὀμωμοκὼς ἄλλο τι πλὴν ὅ τι
ἂν δίκαιον ἡγῆται. 3) εἰ μὲν οὖν ὦ ἄνδρες Ἀθηναῖοι 4) πα- 3
ρανόμων ἢ παραπρεσβείας ἤ τινος ἄλλης 5) τοιαύτης 6) αἰ-
τίας ἤμελλον 7) αὐτοῦ κατηγορεῖν, οὐδὲν ἂν ὑμῶν ἠξίουν

---

συμπληροῦνται κἀκεῖνοι τελικοῖς 1) κεφαλαίοις. Τὸ μὲν πρῶτον προοίμιον τοῦ πραγματικοῦ πλεῖστον μετέχον ἔλαττον εἶχε τὸ παθητικόν· ἐν δὲ τούτῳ πλέον βούλεται κινῆσαι τὸ πάθος, ἵνα πανταχόθεν τὸν δικαστὴν χειρώσηται. εἰς τελικὸν δὲ κεφάλαιον 2) κατέληξε τὸ συμπέρασμα τῆς πρώτης προτάσεως.

Εἰ μὲν οὖν ὦ ἄνδρες.] Ἐντεῦθεν τὸ δεύτερον 3) προοίμιον. ἔστι δὲ καὶ ἡ πρότασις αὐτοῦ διμερής, καὶ τίκτεται ἐντεῦθεν ἡμῖν ἀπορία, ὅτι πῶς ἐνταῦθα λέγει, εἰ ἦν παραπρεσβείας ὁ ἀγών, οὐκ ἂν ἐδεόμην, καὶ πῶς ἐν τῷ κατ᾽ Αἰσχίνου, 4) παραπρεσβείας ὑπάρχοντος τοῦ ἀγῶνος, δεῖται. καί φαμεν, ὅτι αὐτὸς ἐπιλύεται λέγων, ὅτι δέομαι ὑμῶν μετ᾽ εὐνοίας ἡμῶν 5) ἀκοῦσαι. φοβηθεὶς δέ, μὴ σοφίζεσθαι δόξῃ, κατηγορῶν μέν, ἱκετεύων δὲ ὡς οἱ φεύγοντες, ἐθεράπευσε τὸ λυποῦν ἐκ τῆς τοῦ προοιμίου προτάσεως. εἰ μὲν ἐπ᾽ ἄλλοις ἔκρινον, οὐκ ἂν ἐδεήθην, καὶ εἶπε δημοσίων ἀδικημάτων ὀνόματα, παρανόμων καὶ παραπρεσβείας, ἐξισάζων τὴν ὕβριν τοῖς δημοσίοις ἀδικήμασι. βούλεται οὖν καὶ ὡς κατήγορος κατατρέχειν καὶ ἐλεεῖ-

1) τελικοῖς] τοῖς τελ. Bav. Lut., Wolfio videntur subiicienda verba auctoris ut cohaereat oratio: εἰ μὲν οὖν ὦ ἄ. ἀ. 2) Post κεφαλ. addit Bav. τὸ δίκαιον. 3) δεύτερον add. W. 4) p. 341, 5. 5) Ita Ald. Lut., ἡμῖν Herv., om. W.

---

1) πρότερον om. Σkr. Aug. 2) τὸ λοιπὸν ἀδεῶς kr. 3) Ita Be., ἡγῆται δίκ. vulg. et Ftv. 4) ὦ ἄ. ἀ. om. Priscian. 2, 215. Krell., Ἀθηναῖοι om. r. 5) ἄλλης τινὸς kr. 6) τοιαύτης om. Σ, post κατηγορεῖν ponunt ΠΥΩs, utroque loco ponit t. 7) Ita Reisk. et Be. cum Aug. et omnibus libris Bekkeri, exceptis Πv. in quibus ut ap. Priscian. extat ἔμελλον; sed Cod. Monac. Prisc. offert ἠμ.

δεῖσθαι, νομίζων τῷ μὲν κατηγόρῳ περὶ τῶν τοιούτων προςήκειν ἐξελέγχειν 1) μόνον, τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι. 2) ἐπειδὴ δὲ τούς τε κριτὰς διαφθείραντος 3) τούτου 4) καὶ διὰ τοῦτο τῆς φυλῆς ἀδίκως ἀφαιρεθείσης τὸν 516 R. b.
6 τρίποδα, καὶ αὐτὸς πληγὰς εἰληφὼς καὶ ὑβρισμένος, οἷα οὐκ οἶδ' εἴ τις ἄλλος 5) πώποτε χορηγὸς ὑβρίσθη, ἣν ὑπὲρ τούτων ἀγανακτήσας 6) καὶ συνοργισθεὶς καταχειροτονίαν ὁ δῆμος ἐποιήσατο, ταύτην εἰςέρχομαι, οὐκ ὀκνήσω 7) καὶ δεῖσθαι. εἰ γὰρ οἷόν τε τοῦτ' εἰπεῖν, ἐγὼ νῦν φεύγω, εἴπερ

---

σθαι ὡς φεύγων, καὶ ἅμα δεῖξαι, ὡς καὶ αὐτὸς ὁ ἀγὼν ὁμολογουμένως ἐστὶ δημόσιος.

Νομίζων τῷ μὲν κατηγόρῳ.] Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ πρώτου μέρους. θέλων δὲ σώζειν τὸ ἀξίωμα, δεικνύει, ὡς οὐδέποτ' ἂν ἐδεήθην κατηγορῶν, εἰ μὴ νῦν ἐν τῷ τῶν φευγόντων σχήματι καθειστήκειν. τὸ γὰρ τυπτηθέντα μὴ λαβεῖν δίκην ἔοικε τῷ ἡττᾶσθαι. Ζητήσειε δ' ἄν τις, πῶς ἐν τῷ κατ' Αἰσχίνου, καίτοι κατηγορῶν φησι· „δεήσομαι πάντων ὑμῶν.“ ῥητέον δέ, ὅτι διαφοραὶ δεήσεών εἰσιν. ἐκεῖ μὲν γὰρ καὶ δέησις σεμνὴ καὶ φρόνημα ἔχουσα, ἐνταῦθα δὲ ταπεινότητα ἔχει ἡ δέησις. φησὶ γάρ· δέομαι δὲ ὑμῶν καὶ ἱκετεύω, καὶ ὥςπερ ἡττημένος τὸν ἀγῶνα πυνθάνεται. 1)

Καὶ διὰ τοῦτο τῆς φυλῆς.] Ἀνθ' ἑαυτοῦ τὴν φυλὴν ὠνόμασεν, ἐπισείων αὐτῷ πολεμίους 2) πολλοὺς 2) καὶ ὁλόκληρον τὴν φυλήν. καλῶς δὲ καὶ τὸ „ἀδίκως.“ οὐ γὰρ ἁπλῶς εἶπεν „ἀφῃρέθη ἡ φυλή,“ ἀλλ' „ἀδίκως.“ ὁ πολέμιος 3) ἔχει τὸ δίκαιον. 4)

Εἰ γὰρ οἷόν τε.] Ἐντεῦθεν ἡ κατασκευὴ τοῦ δευτέρου μέρους. συνῆψε, φησί, Μειδίας τῇ κακίᾳ τὰ ἄμικτα, κατήγορον ἀποφήνας τὸν φεύγοντα.

1) πυνθάνεται] ποιεῖται W., οὕτω πυνθάνεται Lut. 2) Ita W. et mg. Lut., πολέμους vulg. 3) πολέμιον Lut. 4) τὸ ἆθλον W. proclivius erat τὸ βραβεῖον, sed ne hoc quidem sufficit. Malim παρὰ τὸ δίκ.

---

1) ἐλέγχειν Σkr. Aug. 2) τῷ δὲ φεύγοντι καὶ παραιτεῖσθαι schol. Aeschin. 66, 3. 3) διαφθείροντος v. 4) τούτου] Ita Be., τούτου τότε vulg. et Fkrtv. 5) ἄλλος om. k. 6) ἀγανακτήσας — ταύτην om. pr. kr. 7) ὀκνήσων Y et corr. v.

ὑβρισθέντα μηδεμιᾶς δίκης τυχεῖν [1]) ἐστί τις συμφορά.
7 δέομαι οὖν ὑμῶν ἁπάντων [2]) ὦ ἄνδρες [3]) δικασταὶ [4]) καὶ ἱκετεύω, πρῶτον μὲν εὐνοϊκῶς ἀκοῦσαί μου λέγοντος, ἔπειτ᾽ ἐὰν ἐπιδείξω Μειδίαν τουτονὶ μὴ μόνον εἰς ἐμὲ ἀλλὰ καὶ εἰς ὑμᾶς καὶ εἰς τοὺς νόμους [5]) καὶ εἰς τοὺς ἄλλους ἅπαντας ὑβρικότα, βοηθῆσαι καὶ ἐμοὶ [6]) καὶ ὑμῖν αὐτοῖς. καὶ γὰρ [7]) οὕτω πως [8]) ἔχει ὦ ἄνδρες Ἀθηναῖοι [9]), ὕβρι- d.
σμαι [10]) μὲν ἐγὼ καὶ προπεπηλάκισται τὸ σῶμα τοὐμὸν

---

*Ἔστι τις συμφορά.*] Τῇ παραθέσει τῶν ἄλλων ἐστὶ συμφορά. εἰ οἱ κρινόμενοι, φησίν, ἐν συμφοραῖς ὄντες ἱκετεύουσι, κἀγὼ ὁ ὑβρισμένος, εἰ μὴ λάβοιμι δίκας, ἐν συμφορᾷ ἔσομαι. εἰκότως ἄρα δεήσομαι.

*Δέομαι οὖν ὑμῶν ἁπάντων.*] Διῳκήσατο ἱκανῶς τὸ δεῖν ἱκετεύειν. ἐντεῦθεν δὲ τὸ συμπέρασμα τοῦ δευτέρου προοιμίου, ὅπερ προοίμιον εἴληπται αὐτῷ ἐκ συστάσεως τοῦ οἰκείου προσώπου ἐν διορισμῷ. διορίζει γὰρ ὅτι [1]) ἐν ποίοις ἐγκλήμασι δεῖ δεῖσθαι τὸν κατήγορον, καὶ ἐν ποίοις οὐ δεῖ.

(*Ἔπειτ᾽ ἐὰν ἐπιδείξω.*] Ὅτι τὸ συμπέρασμα τῆς προκατασκευῆς εἰς τελικὸν κεφάλαιον, τὸ συμφέρον, ἔληξεν. B.)

*Ὕβρισμαι μὲν ἐγώ.*] Ἐκ τεττάρων ὅρων βιάζεται δημόσιον δεικνύναι το γεγονός. πρῶτον μέν, ὅτι πᾶσα ὕβρις καὶ ἐν ὁποίῳ δήποτε καιρῷ δημόσιόν ἐστι. τοῦτο [2]) δείκνυσιν ἑνὶ μὲν διὰ τοῦ εἰπεῖν, „τὰς μὲν γραφὰς ἔδωκε παντὶ τῷ βουλομένῳ, τὸ δὲ τίμημα ἐποίησε δημόσιον ὅλον.“ δευτέρου [3]) δὲ ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γιγνόμενα,

1) ὅτι om. W. 2) τοῦτο] καὶ τοῦτο Lut. 3) W. δεύτερον.

---

1) Ita Be., τυχεῖν δίκης vulg., τυχεῖν om. pr. Y. 2) ἁπάντων om. F. et Bav. 3) ἄνδρες om. k. 4) δικ.] Ita Be. Aug. Par. 1., ἀθηναῖοι vulg. et FΩstv. 5) καὶ εἰς τοὺς νόμους om. Bav. tv. 6) Reisk. addi vult καὶ τοῖς νόμοις. 7) καὶ γὰρ — τότε Aristid. τεχ. ῥητ. p. 182 Cant. 443 Iebb. 8) οὕτως ἔχει Aristid. 9) δικασταὶ Aug. 10) ὕβρισμαι — τοὐμὸν Ammon. p. 9 Valck.

τότε, ἀγωνιεῖται δὲ καὶ κριθήσεται τὸ πρᾶγμα νυνί, πό-
τερον ἐξεῖναι δεῖ τὰ [1] τοιαῦτα ποιεῖν καὶ εἰς τὸν τυχόνθ'
8 ὑμῶν ἀδεῶς ὑβρίζειν ἢ μή. εἴ τις οὖν [2] ὑμῶν ἄρα καὶ [3] e.
τὸν ἔμπροσθεν [4] χρόνον τῶν [5] ἰδίων τινὸς ἕνεκα [6] γίγνε-
465 σθαι τὸν ἀγῶνα τόνδε [7] ὑπελάμβανεν, ἐνθυμηθεὶς νῦν,
Bk. ὅτι δημοσίᾳ συμφέρει μηδενὶ [8] μηδὲν ἐξεῖναι τοιοῦτο [9]

---

κἂν εἰς ἰδιώτην ᾖ, δημόσιά ἐστι· τρίτον, τὰ εἰς χορηγὸν γιγνόμενα καὶ πολλῷ [1] πλέον. τέταρτον, ὅτι οὐ δι' ἐμὲ μόνον ἀλλὰ καὶ διὰ πάντας τοὺς ἄλλους, ὅσους ὕβρισεν, ἄξιός ἐστιν ὡς ὑβριστὴς καὶ τυραννικὸς δημοσίᾳ κολασθῆναι. πρῶτον οὖν ἀποδείκνυσιν, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστι, καί φησιν·

Εἴ τις οὖν ὑμῶν.] Ἐντεῦθεν ἡ προκατασκευή, ἔνθα τίθησι τοὺς δύο νόμους, δεικνύων, ὅτι δημόσιόν ἐστι τὸ ἀδίκημα. ἕτεροι δέ φασιν, ὅτι τοῦτο δοκεῖ μὲν συνηρτῆσθαι τῷ προοιμίῳ· τὸ δὲ ἀληθὲς ὥςπερ προοίμιόν ἐστι τῆς κατασκευῆς τῆς μελλούσης. ἐντεῦθεν γὰρ προβιβάζει περὶ τοῦ χρῆναι τὰ ἐν τῇ ἑορτῇ πάντα δημόσια νομίζειν, καὶ οὐ τῶν ἰδίων τινὸς ἕνεκα γίνεσθαι, τουτέστιν, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστιν.

(Εἴ τις ὑμῶν ἄρα.] Τρίτον προοίμιον. B.)

Ἐνθυμηθεὶς νῦν.] Καὶ τοῦτο τοῦ πρώτου ὅρου καὶ ὥςπερ κοινοῦ τοῦ πράγματος. πάντα γὰρ ταῦτα τοῦ δημοσίαν εἶναι πᾶσαν ὕβριν κατασκευαστικά ἐστιν.

1) πολλῷ] Ald. Herv.

---

1) τὰ om. YΩrs. 2) οὖν om. Bav. 3) ἄρα καὶ] ἄνδρες δικασταί coni. Sp. 4) ἔμπροσθε ΠΣYs. Be. 5) τῶν om. Aug. r. 6) Ita editi, quod sciam, omnes, ut mirer Reiskium, τινὸς εἵνεκα in vulgatis exhiberi professum. ἕνεκά τινος Aug. kr. τινὸς εἵνεκα ΠY. 7) τόνδ' Be. 8) μηδενὶ om. Paul. 9) Ita Wolf. Be. Bu. (in Add.) cum Vind. et optimis plurimisque Bekkeri, τοιοῦτόν τι Aug. Barocc. kr. Reisk., τοῦτο Ftv. Lut. et vulg. ante Wolfium.

ποιεῖν, ὡς ὑπὲρ κοινοῦ τοῦ πράγματος ὄντος [1]), καὶ προσέχων ἀκουσάτω καὶ τὰ φαινόμενα αὐτῷ [2]) δικαιόταθ' [3]) εἶναι ταῦτα ψηφισάσθω. ἀναγνώσεται δὲ [4]) πρῶτον μὲν [5]) ὑμῖν τὸν νόμον, καθ' ὃν εἰσὶν αἱ προβολαί, μετὰ δὲ ταῦτα καὶ περὶ τῶν [6]) ἄλλων πειράσομαι διδάσκειν [7]). Λέγε τὸν νόμον.

ΝΟΜΟΣ. [8]) 517 R.

Τοὺς πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐν Διονύσου τῇ ὑστεραίᾳ ἐν Πανδίονι [9]). ἐν δὲ ταύτῃ χρηματίζειν

---

Ἀναγνώσεται.] Ἐντεῦθεν [1]) καθαρῶς εἰς αὐτὴν τὴν κατασκευὴν [2]) ἐμβέβληκεν [3]), ἥτις ἐστὶ [4]) δεύτερος ὅρος, ὅτι πάντα τὰ ἐν τῇ ἑορτῇ γινόμενα [5]) δημόσιά ἐστιν· καὶ ἀναγινώσκει τοὺς νόμους, δι' ὧν τοῦτο κατασκευάζεται.

(Τὸν νόμον.] Ὁ νόμος κατασκευάζει τὸν ὅρον, τοῦ πάντα τὰ ἐν τῇ ἑορτῇ γινόμενα δημόσια δοκεῖν εἶναι. B.)

Νόμος· [6]) Τοὺς πρυτάνεις ποιεῖν.] Ἐφοβήθη, μὴ λέγων ἃ πέπονθεν, ὑπόνοιάν τινα ἐμβάλλῃ τοῖς ἀκούουσιν, ὅθεν ἀνέγνω πρὸ τῆς διηγήσεως τοὺς νόμους, ὅπερ [7]) ἔφαμεν, κατορθῶν. ἐδεδοίκει γάρ, μὴ ἰδιωτικὸς ὁ ἀγὼν γένηται ἐκ τῆς καταστάσεως, ἰδιωτικὰ [8]) πράγματα ἐχούσης, καὶ διὰ τοῦτο πρὶν εἰπεῖν ἃ πέπονθε, προὔλαβε τὸν δικαστὴν τῇ ἀναγνώσει τῶν νόμων, ἵνα κἂν ὕβρεις λέγῃ κἂν πληγὰς καὶ τὰ τοιαῦτα, ὡς δημοσίων ἀκούωσιν, ἀποδειχθέντος τοῦ πάντα τὰ ἐν ἑορτῇ γιγνόμενα

1) Ἐντεῦθεν — δημόσ. ἐστιν. Haec in B. adscripta sunt superioribus verbis εἴ τις ὑμῶν. 2) προκατασκευὴν Bav. 3) εἰςβέβληκεν B. 4) ἐστιν ὁ δεύτ. Lut. et Bav. 5) γενόμενα Bav. 6) νόμος om. Lut. 7) γρ. ὥςπερ mg. Lut. 8) ἰδιοτικὰ Herv.

---

1) ὄντος om. pr. Y. 2) Ita maluit Bu., edidit Be., erat αὐτῷ. 3) δικαιότερ' ΠΥΩs Paul. Bu. 4) δὲ om. ΠΣΥΩs. 5) μὲν om. t. 6) τῶν om. t. 7) διδάσκειν] Ita Aug. Be., διδάσκ. ὑμᾶς Ftv. et vulg. ante Be. 8) Legem om. Aug. k., in mg. ponit r. 9) ἐν πανδιον' Σ in litura, τῶν Πανδίων coni. Palmer. receperunt Bu. et Dind.

πρῶτον μὲν περὶ ἱερῶν, ἔπειτα τὰς προβολὰς [1]) παραδιδότωσαν [2]) τὰς γεγενημένας ἕνεκα τῆς πομπῆς ἢ τῶν ἀγώνων τῶν ἐν τοῖς Διονυσίοις, ὅσαι ἂν μὴ ἐκτετισμέναι ὦσιν.

9 Ὁ μὲν νόμος οὗτός ἐστιν ὦ ἄνδρες Ἀθηναῖοι [3]), καθ' 4 Bu.
ὃν αἱ προβολαὶ γίγνονται, λέγων, ὥσπερ ἠκούσατε, ποιεῖν τὴν ἐκκλησίαν [4]) ἐν Διονύσου μετὰ τὰ Πάνδια, ἐν δὲ ταύ–

---

δημόσια εἶναι. ἔστι δὲ ὁ πρῶτος νόμος τοιοῦτος, ὅτι μετὰ τὴν ἑορτὴν ἐγίγνετο ἐκκλησία ἐν Διονύσου, καὶ ἐξητάζετο [1]) ὁ ἄρχων περὶ ὧν διῴκηκε, καὶ περὶ ὧν ἠδίκησέ τις καὶ παρηνόμησεν.

**Ὁ μὲν νόμος οὗτός ἐστιν.**] Ἐκ τούτου τοῦ νόμου συλλογίζεσθαι βούλεται περὶ τῶν κατὰ [2]) τὴν ἑορτήν. πόθεν οὖν; ὅτι [3]) ἡ προβολὴ δημόσιον, ἐκ τῶν ἑξῆς δείκνυσιν.

**Ἐν Διονύσου μετὰ τὰ Πάνδια.**] Ἐν Διονύσου μὲν ἐν τῷ θεάτρῳ. συνῆπτο γὰρ τῷ [4]) θεάτρῳ τὸ τέμενος. Πάνδια δὲ οἱ μὲν Διὸς ἑορτὴν ἐνόμισαν, οἱ δὲ Πάνδιαν τὴν Σελήνην νομίζουσιν, ἴσως ἀπὸ τοῦ πάντοτε [5]) ἰέναι. τὸν μὲν γὰρ Ἥλιον ἐν ἡμέρᾳ μόνῃ θεωρεῖν ἔξεστι, τὴν δὲ Σελήνην καὶ ἡμέρας καὶ νύκτωρ. ἦγον οὖν καὶ τῆς Σελήνης ἑορτὴν μετὰ τὰ Διονύσια, ἐπειδὴ Διονύσου ἀδελφὴ ἡ Σελήνη, εἴπερ τὸν Διόνυσον καὶ Ἀπόλλωνα καὶ Ἥλιον καλοῦσιν, ἔνιοι δὲ παῖδα Σελήνης τὸν Διόνυσον. (Πάνδια καὶ Πάντια ἡ Σελήνη, ὅτι πάντοτέ ἐστι καὶ λάμπει, ἔν τε νυκτὶ καὶ ἡμέρᾳ· Πάνδια δὲ ἴσως διὰ τὸ πάντοτε διεῖναι. [6]) ὁ μὲν γὰρ Ἥλιος ἐν ἡμέρᾳ μόνῃ θεωρεῖται, ἡ δὲ Σελήνη καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί. Διόνυσον δὲ λέγει τὸν Ἥλιον ἤτοι τὸν Ἀπόλλωνα. B.)

**Ἐν δὲ ταύτῃ ἐπειδὰν χρηματίσωσιν οἱ**

1) γρ. ἐξήταζεν mg. Lut. 2) Ita Wolf. et mg. Lut., erat μετὰ. 3) ὅτι] ὅτι δὲ coni. Wolf. 4) Ita W., erat ἐν τῷ. 5) πάντοσε mg. Lut. 6) Malim διιέναι.

---

1) προςβολὰς Ω. 2) παραδάτωσαν F. Bav. 3) Ἀθ.] δικασταὶ k. Aug. 4) τὴν ἐκκλ. ποιεῖν r.

τῃ ἐπειδὰν χρηματίσωσιν οἱ πρόεδροι περὶ ὧν διῴκηκεν [1]) ὁ ἄρχων, χρηματίζειν [2]) καὶ περὶ ὧν ἄν τις ἠδικηκὼς ᾖ περὶ τὴν ἑορτὴν ἢ παρανενομηκώς, καλῶς ὦ ἄνδρες Ἀθηναῖοι [3]) καὶ συμφερόντως ἔχων ὁ νόμος, ὡς [4]) τὸ πρᾶγμα αὐτὸ μαρτυρεῖ. ὅπου γὰρ ἐπόντος τοῦ φόβου τούτου φαίνονταί b.
τινες οὐδὲν ἧττον ὑβρισταί, τί χρὴ τοὺς τοιούτους προς-

---

προέδροι.] Πρόεδροι ἐκαλοῦντο [1]) οἱ πεμπόμενοι ἐν τῇ βουλῇ παρὰ τῆς πρυτανευούσης φυλῆς. οὗτοι δὲ πάλιν ἐπέμποντο παρὰ τῆς βουλῆς εἰς τὸν δῆμον, καὶ [2]) προκαθεζόμενοι ἐν τῷ θεάτρῳ, (διὸ καὶ πρόεδροι ἐκλήθησαν) ἠρώτων [3]) τὸν δῆμον, εἰ δοκεῖ αὐτοῖς ἐπισκέψασθαι περὶ τῶν κατὰ τὴν ἑορτήν, οἱ δὲ ἦρον τὰς χεῖρας. [4])

Περὶ ὧν διῴκηκεν ὁ ἄρχων.] Ἐδίδου γὰρ λόγον, εἰ τὸ ἄγαλμα ἀλώβητον ἔσωσεν, εἰ τῶν ἄλλων μηδέν τι ἐνέλιπε χρηματίζων.

Καὶ περὶ ὧν ἄν τις.] Προθεὶς [5]) ἄρχοντας καὶ προέδρους συνῆψε καὶ τὰς ὕβρεις τὰς ἐν τῇ ἑορτῇ. δῆλον γάρ, ὅτι ἐν τῷ ἑνὶ νόμῳ καὶ [6]) τὸ μὲν δημόσιον, τὸ δὲ ἰδιωτικόν, ὥςτε ἐκ τούτου συλλογίζεται τὸ καὶ τὰς ὕβρεις δημοσίας εἶναι, εἴπερ καὶ περὶ τὸν ἄρχοντα. [7])

Καλῶς ὦ ἄνδρες Ἀθηναῖοι.] Συναγωνίζεται τῷ νόμῳ, διὰ τῶν ἐπαίνων συστῆσαι βουλόμενος. καὶ [8]) περὶ τῶν τοὺς ὑπερημέρους εἰςπραττόντων, ὥςπερ κἀπὶ τῶν ἰδιωτῶν, εἰ γίγνοιντό τινες ὑπερήμεροι, δίδωσι [9]) τὴν ἀσφάλειαν ὁ νόμος.

1) ἐκαλοῦντο om. Bav. 2) καὶ addidi ex Bav. 3) ἠρώτων δὲ τὸν W. de coni. 4) οἱ δὲ ἦρον τὰς χεῖρας] καὶ ἐπειδὴ (voluitne ἔπειτα?) προήδρευον τῶν ἄλλων ἁπάντων Bav. 5) Erat προςθείς. 6) καὶ delendum videtur Wolfio; eius loco οὐ in Lut., recte. 7) Ita Par. α., ἄρχοντα δημοσίας vulg., εἴπερ καὶ τὰ περὶ τὸν ἄρχοντα δημόσια W. de coni. 8) καὶ περὶ — ὁ νόμος. Corrupta haec neque parata est medicina. 9) δίδωσι] ἅτι δίδωσι W.

---

1) διώκηκεν Ald. Herv. 1. 2. 2) Ita Be. cum Σ., vulgo post χρημ. additur κελεύει, quod in Y est rec. manu additum. 3) δικασταὶ Aug. k. 4) ᾧ Paul.

δοκᾶν [1]) ἂν ποιεῖν, εἰ μηδεὶς [2]) ἐπῆν [3]) ἀγὼν μηδὲ κίνδυνος;

10 Βούλομαι τοίνυν [4]) ὑμῖν καὶ τὸν ἑξῆς νόμον ἀναγνῶναι [5]) τουτονί· [6]) καὶ γὰρ ἐκ τούτου φανερὰ πᾶσιν ὑμῖν ἥ τε τῶν ἄλλων ὑμῶν [7]) εὐλάβεια γενήσεται καὶ τὸ τούτου θράσος. Λέγε τὸν νόμον.

## ΝΟΜΟΣ. [8]) c.

Εὐήγορος εἶπεν, ὅταν ἡ πομπὴ ᾖ τῷ Διονύσῳ ἐν Πειραιεῖ καὶ οἱ κωμῳδοὶ καὶ οἱ τραγῳδοί, καὶ ἡ [9]) ἐπὶ Ληναίῳ πομπὴ [10]) καὶ οἱ τραγῳδοὶ καὶ οἱ κωμῳδοί, 466 Bk. καὶ τοῖς ἐν ἄστει Διονυσίοις " ἡ [11]) πομπὴ καὶ οἱ παῖδες καὶ ὁ κῶμος καὶ οἱ κωμῳδοὶ καὶ οἱ τραγῳδοί, καὶ

---

Βούλομαι τοίνυν.] Δεύτερον ἀναγινώσκει νόμον, ἀντιπίπτον [1]) ὑποστεμνόμενος. ἐπειδὴ γὰρ ἀπέδειξεν, ὅτι πάντα τὰ περὶ τὴν ἑορτὴν δημόσιά ἐστιν, ἀντέπιπτεν αὐτῷ, ἀλλ' οὐ τά γε περὶ τοὺς ἰδιώτας γιγνόμενα, ἀλλ' [2]) εἴ τις ἢ χορηγὸν εἴρξειεν, ἢ αὐλητὴν ἀπελάσειεν ἢ κωμῳδόν, ἢ τὸν δῆμον [3]) τῆς θέας κωλύσειεν. βουλόμενος [4]) ἀποδεῖξαι καὶ τὰ περὶ τοὺς ἰδιώτας ἐν τῇ ἑορτῇ δημόσια ὄντα, τὸν δεύτερον ἀναγινώσκει νόμον.

1) An τὸ ἀντιπ.? Non opus. cf. ad §. 1, 5. 17, 2. 55, 5. 78, 3. 103, 10. 118, 2. 167, 4. 174, 5. 2) ἀλλ' malim deletum. 3) δήμων Herv. 4) Malim βουλόμενος οὖν vel δὲ.

---

1) Ita Be., προσδοκᾶν τοὺς τοιούτους vulg. et Fkrtv. 2) Ita Bu. Be., μηδ' εἷς vulg. 3) Aug. ἦν prima manu, cui rec. superscripsit ἐπ'. 4) τοίνυν] δὲ kr. Aug. 5) Ita Be., ἀναγνῶναι νόμον vulg. et Ftv. 6) τούτωι Ys Sp. Bu. 7) ἄλλων ἁπάντων ὑμῶν Aug. Ykr. Reisk. Bu. 8) Legem om. Aug. 9) ἡ om. ΠΣYrstv. et vulg. ante Reisk., qui articulum de suo addidit, neque arbitror in Ωk. eum extare, quamquam ex tacente Bekkero ita colligas; in Ald. Herv. 1. 2. Wolf. ante καὶ asteriscus additus est. καὶ ἡ — κωμῳδοὶ καὶ οἱ τραγῳδοὶ om. F. 10) πομπῇ Ald. Hervag. 1. 2. Lut. Wolf. ΠY. 11) οἱ πομποὶ s.

Θαργηλίων [1]) τῇ πομπῇ καὶ τῷ ἀγῶνι, μὴ [2]) ἐξεῖναι "μήτε [3]) ἐνεχυράσαι μήτε λαμβάνειν ἕτερον ἑτέ- 518
ρου [4]) μηδὲ τῶν ὑπερημέρων ἐν ταύταις ταῖς ἡμέραις. R.
ἐὰν δέ τις [5]) τούτων τι παραβαίνῃ, ὑπόδικος ἔστω d.
τῷ παθόντι, καὶ προβολαὶ αὐτοῦ [6]) ἔστωσαν ἐν [7]) τῇ ἐκκλησίᾳ τῇ ἐν Διονύσου ὡς ἀδικοῦντος, καθὰ [8]) περὶ τῶν ἄλλων τῶν [9]) ἀδικούντων γέγραπται.

11 Ἐνθυμεῖσθε [10]) ὦ ἄνδρες δικασταί, ὅτι ἐν τῷ προ- 5 Bu.
τέρῳ [11]) νόμῳ κατὰ [12]) τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων

---

(Τῶν ὑπερημέρων.] Οἱ [1]) ἐν ταῖς καταδίκαις πρὸς ἔκτισιν ἡμέρας λαβόντες καὶ μὴ διαλυσάμενοι, οἱ δίκην ὀφείλοντες ὁποιανοῦν, καὶ τὰ ἐπιτίμια τοῖς ἑλοῦσι μὴ ἀποδιδόντες ἐν ταῖς τακταῖς προθεσμίαις ὑπερήμεροι ἐκαλοῦντο, ἤγουν ὑπερπρόθεσμοι ἢ ἐκπρόθεσμοι, τὸ δὲ πρᾶγμα ὑπερημερία. B.)

(Προβολαί.] Γραφαὶ κατὰ τῶν συκοφαντούντων. B.)

Ἐνθυμεῖσθε ὦ ἄνδρες δικασταί.] Συνέλαβε τὸ νόημα ἐν τῷ προτέρῳ νόμῳ, ἵνα δείξῃ κοινωνίαν τῷ προτέρῳ νόμῳ πρὸς τὸν δεύτερον. τοῦ νόμου δὲ τοῦ δευτέρου ὄντος τοιούτου, ὅτι μηδὲ τοὺς ὑπερημέρους ἀπαιτεῖ-

1) Hausta haec ex Suid. s. v. ὑπερήμεροι.

---

1) Ita Reisk., Be., καὶ ὁ Θαργηλιὼν vulg. et FΠΣΥrstv. Vind. et paene Mss. omnes. Θαργηλιῶνος Par. 1. 2. καὶ ἐν Θαργηλίων πομπῃ Ital. καὶ τῶν Θαργηλίων τῇ πομπῇ, Wolf. (de coni. et Bu. 2) Ita Bav. (e correctione) Ven. Vind. Wolf. Reisk. Be., μήτε FΠΣΥΩrstv. et vulg. ante Wolf., μήτι Sp. de coni. Buttmanni. 3) μήτε] μήτι Ital. om. Barocc. 4) ἑτέρου μηδὲν μηδὲ coni. Reisk. 5) τι τούτων τι Ald. Herv. 1. 2., τι τούτων τις Wolf. 6) αὐτῶν Ital., αὐτῶι ΥΩ Lind. Vind. Par. 1., κατ' αὐτοῦ coni. Wolf. 7) ἐν om. Paul. Herv. Wolf. 8) fortasse καθάπερ scripsit: cf. c. Timocr. 707. 3. 716. 15. καθ' ἃ ed. Ven. 9) ἄλλο τι coni. Reisk., ἄλλως πως Sp. in Add. 10) ἐνθυμεῖσθαι Ald. post. 11) προτέρα Herv. 12) κατὰ τῶν περὶ] Ita Ital. Aug. Lamb. et vulg. post Tayl., περὶ τῶν κατὰ τὴν editi ante Taylor. et FΠΣΥΩstv. κατὰ τῶν παρὰ Barocc.

οὔσης τῆς προβολῆς [1]), ἐν τούτῳ καὶ κατὰ τῶν τους ὑπερημέρους [2]) εἰςπραττόντων ἢ καὶ ἄλλ' ὁτιοῦν τινος λαμβανόντων ἢ βιαζομένων ἐποιήσατε τας προβολάς. οὐ γὰρ ὅπως b. μὴ [3]) τὸ σῶμα ὑβρίζεσθαί τινος ἐν ταύταις ταῖς ἡμέραις ἢ τὴν παρασκευήν, ἣν ἄν ἐκ τῶν ἰδίων πορίσαιτό τις [4]) εἰς [5]) λειτουργίαν, ᾤεσθε χρῆναι, ἀλλὰ καὶ τὰ δίκῃ καὶ

---

Δίκας ἰδίας μοι.] Αὕτη ἐστὶν ἡ γενικὴ ἀντίθεσις, παραγραφικοῦ δύναμιν ἔχουσα, ὅτι οὐ χρὴ ἐπὶ τοῖς ἰδίᾳ γενομένοις δημοσίᾳ κρίνεσθαι. καθόλου γὰρ ποιεῖται τὴν ἀντίθεσιν, μὴ λέγων τὸ ὄνομα τοῦ παθόντος. ἡ δὲ λύσις καὶ αὕτη μεταληπτικὴ ἀπὸ τοῦ τρόπου. (Ὅτι ἔβλαψε καὶ ὕβρισε, δημοσίᾳ δὲ οὐκ ἠδίκησεν. B.)

Καὶ τίμημα ἐπάγειν.] Ἐπὶ γὰρ τοῖς ἰδιωτικοῖς ἐκ τῶν νόμων ὥριστο τὸ τίμημα, ἐπὶ δὲ τοῖς δημοσίοις ὁ κατήγορος ἐτιμᾶτο.

Ἐγὼ δὲ ἓν μὲν ἐκείνου. [3])] Μεταληπτικῆς οὔσης τῆς ἀντιθέσεως, ὅτι ἰδίᾳ χρὴ καὶ οὐ δημοσίᾳ κρίνειν, μεταληπτικῶς ἔλυσε ταύτην, εἰπών, εἰ μὴ τοῦτον κατηγόρησα τὸν τρόπον, πάλιν τἀναντία ἔλεγεν, [4]) ὅτι δημοσίᾳ κρίνειν ἐχρῆν τὰ ἴδια. ἐὰν γὰρ τρόπον ἀντὶ τρόπου ὑποβάλλῃ, μεταληπτικὴ γίνεται ἡ λύσις, ὥςτε οὐκ ἀκριβὲς τὸ

1) ἐν malim deletum. 2) Ita W. pro τῷ στοχασμῷ 3) ἐκεῖνο W. et Lut. 4) Malim ἂν ἔλεγεν.

---

1) ἀληθὲς ΣΥΩs. 2) πεπόνθειν Ald. Hervag. et γ. 3) χρόνον indices Ald. Herv. Wolf. 4) Ita Be., ἁπάσης Ftv et vulg. 5) Ita Reisk. Bu. Be. Aug. Bav., ὑβρίζεσθαι vulg. ante Reisk. ΠΥΩs. 6) ἑαυτὸν ΥΩs. 7) Ita Bu. Be., προὐβαλλόμην vulg. r, probat Schaef., προβαλόμην t. 8) ἐναντίος t.

ἂν [1]) εὐθύς μοι λόγος, ὡς εἴπερ ἦν τι τούτων ἀληθές, προβαλέσθαι [2]) με ἔδει καὶ παρ᾽ αὐτὰ τἀδικήματα τὴν τιμωρίαν ποιεῖσθαι· ὅ τε γὰρ χορὸς ἦν τῆς πόλεως, ἥ τε ἐσθὴς τῆς ἑορτῆς ἕνεκα πᾶσα παρεσκευάζετο, [3]) ἐγώ τε, ὁ
πεπονθὼς ταῦτα, χορηγὸς ἦν· τίς ἂν οὖν ἑτέραν [4]) εἵλετο e.
τιμωρίαν, [5]) ἢ τὴν ἐκ τοῦ νόμου [6]) κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων οὖσαν; ταῦτ᾽ εὖ [7]) οἶδ᾽ ὅτι πάντ᾽ ἂν [8])
27 ἔλεγεν οὗτος τότε. [9]) φεύγοντος μὲν [10]) γάρ, [11]) οἶμαι, [12]) καὶ ἠδικηκότος ἐστὶ τὸ τὸν παρόντα [13]) τρόπον τοῦ μὴ [14]) δοῦναι δίκην διακρουόμενον τὸν οὐκ ὄνθ᾽ ὡς ἔδει γενέσθαι λέγειν· [15]) δικαστῶν δέ γε σωφρόνων τούτοις τε μὴ
471 Bk. προσέχειν, καὶ ὃν ἂν λάβωσιν ἀσελγαίνοντα, κολάζειν.

---

τοῦ Μητροφάνους, [1]) ὅτι πᾶσα μετάληψις ἀντιλήψει λύεται. ἐφάνη γὰρ καὶ μεταληπτικὸν μεταληπτικῷ λυόμενον. (Ἀντιπρότασις· λύσις, ἡ καὶ ἀνθυποφορά. B.)

Ὅτε γὰρ χορὸς ἦν τῆς πόλεως.] Αὐτὸν τὸν ἐχθρὸν πεποίηκεν ὁμολογοῦντα, τὸ [2]) δημόσιον εἶναι τὸ ἀδίκημα καὶ δι᾽ ὧν [3]) περιτίθησι τῷ χορῷ τοὺς λογισμούς, διὰ τοῦτο [4]) καὶ λύει τὴν ἀντίθεσιν, καὶ τὸν ἐχθρὸν καθ᾽ ἑαυτοῦ δείκνυσιν ἀγωνιζόμενον. [5])

1) Est hic Metrophanes Phrygius sophista, qui commentarios in Aristidem et Hermogenem et de characteribus Platonis scripsit. cf. Suid. s. v. et schol. Hermog. 2) τὸ malim deletum. 3) δι᾽ ὧν κτλ. Haec corrupta videntur. 3) τούτου W. 4) ἑαυτῷ ἀντιλέγοντα καὶ περιπίπτοντα W. in annotatione.

---

1) Ita Bu. Be., ἂν ἦκεν vulg. et Ftv. 2) Ita Be. mg. Lut. Aug., προβάλλεσθαί vulg. ante Be. Σ, probat Schaef., προβαλλέσθαι r. 3) παρεσκεύαστο kr Aug. Reisk., probat Schaef. 4) ἑτέραν] Ita Σ et Dind., ἑτέραν μᾶλλον vulg. 5) τιμωρίαν εἵλετο r, εἵλετο τιμ. Herv. Felic. 6) τῶν νόμων Aug. kr. 7) εὖ om. k. 8) ἂν om. ΠΥΩs. 9) τέ pro τότε s. 10) μὲν om. pr. Σ. 11) γὰρ om. r. 12) ἂν οἶμαι Σ. 13) τὸν ὄντα mavult Reisk. 14) μὴ om. r Par. 1. Reisk. Bu., cum his facit Schaef. 15) λέγει Ald.

28 μὴ δὴ τοῦτο 1) λέγειν 2) αὐτὸν ἐᾶτε, ὅτι καὶ δίκας ἰδίας f.
δίδωσιν ὁ νόμος μοι καὶ γραφὴν ὕβρεως· δίδωσι γάρ· ἀλλ'
ὡς οὐ πεποίηκεν ἃ κατηγόρηκα, ἢ πεποιηκὼς οὐ 3) περὶ
τὴν ἑορτὴν ἀδικεῖ, τοῦτο δεικνύτω· τοῦτο 4) γὰρ αὐτὸν
ἐγὼ 5) προὐβαλόμην, 6) καὶ περὶ τούτου τὴν ψῆφον οἴ-
σετε νῦν ὑμεῖς. εἰ δ' ἐγὼ 7) τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεον- g.
εξίαν ἀφεὶς τῇ 8) πόλει παραχωρῶ τῆς τιμωρίας, καὶ τοῦ-
τον εἱλόμην τὸν ἀγῶνα, ἀφ' οὗ μηδέν ἐστι λῆμμα λαβεῖν.

---

Μὴ δὲ 1) τοῦτο λέγειν.] Ἐν τούτῳ φησὶ Μητροφάνης τὸ κατὰ σύλληψιν δηλοῦσθαι, ἐν ᾧ φαίνεται συγχωρῶν ὁ ῥήτωρ, ὡς 2) καὶ δίκας ἰδιωτικὰς δίδωσιν ὁ νόμος. οὐ μὴν οὕτως ἔχει· μηδέπω γὰρ τῆς δίκης τεθείσης, τουτέστιν, αὐτοῦ τοῦ ὅρου τεθέντος, μηδὲ ἀνθορισαμένου 3) ἰδιωτικῶς τοῦ ῥήτορος, πῶς οἷόν τε κατὰ σύλληψιν εἰσάγεσθαι; ἢ πῶς συναγωγή ἐστι τοῦ ὅρου καὶ τοῦ ἀνθορισμοῦ; ἔστιν οὖν λύσις μᾶλλον τῆς γενικῆς ἀντιθέσεως „δίδωσιν ὁ νόμος ἰδίᾳ δικάζεσθαι" ὁ δὲ κατὰ συγχώρησιν ὁμολογῶν καὶ αὐτός, εἶναι 4) καὶ δίκας ἰδιωτικάς, ἃ μέντοι κατηγόρηκα ἐγώ, 5) καὶ ἃ τετόλμηκε Μειδίας, ταῦτα περὶ τὴν ἑορτήν ἐστιν ἀδικήματα· πῶς οὖν ἰδίᾳ κρίνεσθαι βούλεται δημοσίᾳ πλημμελήσας;

Εἰ δ' ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν.] Ὁ μὲν ἰδιωτικὸν λαγχάνων αὐτὸς ἐλάμβανε παρὰ τοῦ φεύγοντος τὸ ἐκ τῶν νόμων τίμημα. παρεώρακα δὲ μόνος 6) τὴν ἐμαυτοῦ δίκην διδόντα. 7)

1) δὴ Lut. 2) Addidi ὡς vulgo omissum. W. ὅτι ex coni. 3) Ita W. et Lut., erat ἀνθορισάμενος. W. etiam ἰδιωτικῶς induxit. 4) εἶναι] διδόναι νόμον Lut. 5) ἐγὼ] ἐγώ, φησί Lut. 6) μόνος — διδόντα vitii suspecta. 7) διδόντα om. Par. 1.

---

1) τοῦτον v. 2) λέγει Hervag. 3) οὐ om. k. 4) διὰ τοῦτο, vel τούτου mavult Reisk. 5) ἐγὼ om. k. 6) προὐβαλλόμην Wolf., placuit Spaldingo, si post γὰρ adderetur τότε. 7) ἐγὼ om. Aug. 8) τῇ πόλει — τιμωρίας Bekk. Anecd. 161. 25.

ἐμοί, χάριν, οὐ βλάβην δήπου τοῦτ' 1) ἂν εἰκότως ἐνέγκοι μοι 2) παρ' ὑμῶν.

29 Οἶδα τοίνυν, ὅτι καὶ τούτῳ πολλῷ χρήσεται τῷ λόγῳ· Bu.

---

*Χάριν, οὐ βλάβην.*] Προετίμησα παρ' 1) ἐμαυτοῦ τὴν πόλιν, καὶ ταύτῃ παρεχώρησα 2) τὸ ἐκ τοῦ τιμήματος ὄφελος. βούλεται γὰρ αὐτὸν δημευθῆναι. 3)

*Οἶδα τοίνυν ὅτι καὶ τούτῳ πολλῷ χρήσεται τῷ λόγῳ.*] Ὁρικὸν κεφάλαιον. Ἄλλως. κυρίως 4) οὗτός ἐστιν ὅρος εἰδικῶς 5) εἰςηγμένος, 6) διὸ καὶ ὀνομαστὶ προςήγαγε, 7) καί, „πολλῷ", φησί, „χρήσεται 8) τῷ λόγῳ". ἐπ' οὐδὲν γὰρ ἕτερον 9) οὕτως, ὡς ἐπὶ τοῦτο καταφεύξεται Μειδίας, ἰδιωτικὸν 10) ἀποφῆναι τὸν ἀγῶνα. 11) φασὶ δέ τινες τρεῖς 12) εἶναι ἀντιθέσεις, μίαν μέν, „μή με Δημοσθένει παραδῶτε", ἑτέραν δέ, „μηδὲ διὰ Δημοσθένην με ἀνέλητε", τρίτην δέ, „ὅτι τούτῳ πολεμῶ, διὰ ταῦτό με ἀναιρήσετε"; καὶ ταῦτό φασι 13) γνώριμον ἐκ τοῦ πρὸς ἕκαστον τούτων 14) πορίζεσθαι 15) καὶ τὰς λύσεις παρὰ τοῦ ῥήτορος. οὐ μὴν οὕτως ἔχει· μία γάρ ἐστιν ἀν-

1) παρ'] γὰρ W., mihi aut παρ' ἐμαυτὸν aut cum Lut. πρὸ ἐμαυτοῦ scribendum videtur. 2) Ita W. et Lut. pro ταύτην παρεχώρησε. 3) Cuius bona publicantur, eum ipsum δημευθῆναι dicunt scriptores vergentis Graecitatis; cf. Bekk. Anecd. 1. 189, 2. Schol. ad Arist. Nub. 857. (861) [de quo v. Müller Dor. 2. 211.] ad Plut. 174. quem immerito vituperavi de bon. damn. 107. Suetonius saepius homines confiscari dicit, quorum bona fisco addicuntur A. 15. T. 49. C. 41. D a m n a t i o autem bonorum pro p u b l i c a t i o n e num dicatur, merito dubitatum est ad Cic. Phil. IV, 4. 4) Rectius Bav. οὗτός ἐστιν ὁ κύριος ὅρος. 5) Ita Bav. et W. pro ἰδικῶς. 6) ἐπηγμένος Bav. 7) ὀνόματι προήγαγε Bav. 8) χρήσεται addidi ex Bav. et Lut. 9) οὐδενὶ γὰρ ἑτέρῳ ὡς ἐπὶ τούτῳ Bav. 10) τῷ ἰδιωτικὸν ἀποφ. Bav. Malim τὸ ἰδ. 11) Post ἀγῶνα Bav. haec habet: μία δέ ἐστιν ἡ ἀντίθεσις εἰς τρία κῶλα μερισθεῖσα. 12) Ita W. pro τιν. τοῦτο εἶναι ἀντιθέσεως vel ἀντιθέσεις ut in Lut. 13) Ita scripsi cum Lut. pro φησί. 14) Ita scripsi pro τοῦτον. 15) Ita W. pro γνωρίζεσθαι.

---

1) τούτου coni. Wolf. et Tayl. 2) Ita Be. cum Σ et mg. Lut., ἐνέγκαιμι Ald. Hervag. Felic. Paul., ἐνεγκαίμην mg. Lut., ἐνέγκαι$^{οι}$ μοι$^{ου}$ v$^{ϊ}$ Bav., ἐνέγκαι μοι F., ἐνέγκοιμι ΠΥΩ, ἐνέγκοιμι$^{αι}$ s, ἐνέγκαι μοι ceteri libri Bekkeri Wolf. Lut. Reisk. Bu.

„μή [1]) με Δημοσθένει παραδῶτε, μηδὲ [2]) διὰ Δημοσθένην με ἀνέλητε. ὅτι [3]) ἐκείνῳ [4]) πολεμῶ, διὰ τοῦτό με [5]) ἀναι-

---

τίθεσις εἰς τρία κῶλα μερισθεῖσα· καὶ τοῦτο δῆλον μάλιστα μὲν [1]) ἐκ τῶν λύσεων, πᾶσαι γὰρ πρὸς ἓν νόημα τὴν ἀναφορὰν ἔχουσιν, ὅτι οὐ Δημοσθένης μόνος ἐστὶν ὁ ὑβρισθεὶς ἀλλὰ καὶ ὁ χορηγός. ἔπειτα δὲ καὶ ἀπ' αὐτῶν τῶν κώλων τῶν ἐν τῇ ἀντιθέσει. καὶ γὰρ ἐν τούτοις ἓν ἔστι [2]) νόημα διὰ πάντων, ὅτι ἰδιώτης ἐστὶν ὁ ὑβρισθείς. καὶ τὰ μὲν δύο πρόδηλον ἔχει τὴν συγγένειαν, „μή με Δημοσθένει παραδῶτε, μηδὲ διὰ Δημοσθένην με ἀνέλητε“. τὸ γὰρ μὴ παραδοῦναι τῷ ἐχθρῷ ταὐτόν ἐστι τῷ [3]) μὴ ἀνελεῖν. τὸ δὲ τρίτον ἔχει μὲν καὶ αὐτὸ συγγένειαν πρὸς τὰ πρότερα, ἐν ᾧ φησι, „διὰ τοῦτό με ἀναιρήσετε“; ταὐτόν ἐστι γὰρ τῷ „μηδὲ διὰ Δημοσθένην με ἀνέλητε“. διαφέρει δὲ τῷ [4]) εἰπεῖν, „ὅτι τούτῳ πολεμῶ“. δείκνυσι γὰρ ἐκ τούτων ἰδιωτικὴν τὴν ἔχθραν, ὅτι πρὸς ἕνα μοι ἐστὶν ὁ πόλεμος ὁ [5]) πρὸς Δημοσθένην. αὐτὸς δὲ ὑβρισθεὶς οὐκ ὀφείλει κοινῆς τῆς πόλεως λέγειν τὸ ἀδίκημα. καί ἐστιν ὁ ὅρος οὗτος τὸ μὲν ὁμολογούμενον τὸ δὲ ἀρνούμενον ἔχων. ὅτι μὲν γὰρ ὕβρισε Δημοσθένην, ὁμολογεῖ, ὅτι δὲ δημόσιον τὸ γεγονός, ἀρνεῖται, ὡς εἶναι τὸ μὲν παρὰ τοῦ φεύγοντος ὅρον ἐκ τῶν λειπόντων, τὸ δὲ παρὰ τοῦ διώκοντος ἐκ τῶν πεπραγμένων. ὁ μὲν γάρ φησιν, οὐκ ἄρχοντα ὕβρισα, οὐ παρὰ τὴν πόλιν ἐξήμαρτον ἀλλ' εἰς Δημοσθένην, καὶ σιωπᾷ τὸν χορηγόν, τὴν ἱερομηνίαν, τὸ θέατρον. ὁ δὲ πρὸς τοῖς ὑπὸ Μειδίου ὁμολογουμένοις καὶ αὐτὰ [6]) προστιθεὶς δημόσιον ποιεῖ τὸ ἔγκλημα. διὰ τί οὖν μιᾶς οὔσης τῆς ἀντιθέσεως εἰς τρία μέρη πεποίηκεν αὐτήν; ὅτι ἐθάῤῥει τῷ πλήθει τῶν λύσεων, καὶ ἵνα μὴ δόξῃ περὶ ἓν μέρος πολλῇ χρῆσθαι τῇ περιουσίᾳ, διὰ τοῦτο ἐμέρισεν, ὥστε λανθάνειν τὴν ἰσχὺν τῆς ἀντιθέσεως. ἔνθα γὰρ πολλὰς ἔχει λύσεις, ἐκεῖ καὶ τὴν μίαν ἀντίθεσιν πολλὰς ποιεῖ, ὥστε τὴν εὐπορίαν ἐπιδείξασθαι τῶν λύσεων.

1) Erat μὲν καὶ ἐκ. 2) Ita W. pro ἔνεστι. 3) Ita W. pro τὸ 4) Ita W. pro τοῦ. 5) ὁ deletum malim. 6) An ταῦτα?

---

1) μή με] μηδὲ Aug. 2) μὴ δὲ Herv. et sic saepius Herv. et Ald. οὐ δὲ et μὴ δὲ pro οὐδὲ et μηδέ. 3) ὅτι om. pr. k. 4) Ita Bv. Be. Lind. Vind. Obsop. Ital. et plurimi libri Bekkeri, τούτῳ vulg. et Fkrtv. 5) με om. Ωrt.

ρήσετε;" τὰ τοιαῦτα πολλάκις "οἶδ' ὅτι φθέγξεται, βου- 524
λόμενος φθόνον τινὰ ἐμοὶ [1]) διὰ τούτων τῶν λόγων συνά- b. R.
γειν. [2]) ἔχει [3]) δ' οὐχ οὕτω ταῦτα, οὐδ' ἐγγύς. οὐδένα
30 γὰρ τῶν ἀδικούντων ὑμεῖς οὐδενὶ τῶν κατηγόρων ἐκδίδοτε·
οὐδὲ γὰρ [4]) ἐπειδὰν ἀδικηθῇ [5]) τις, ὡς ἂν ἕκαστος [6]) ὑμᾶς
ὁ παθὼν πείσῃ, ποιεῖσθε [7]) τὴν τιμωρίαν, ἀλλὰ τοὐναν-
τίον νόμους ἔθεσθε πρὸ τῶν ἀδικημάτων ἐπ' ἀδήλοις μὲν
τοῖς ἀδικήσουσιν, [8]) ἀδήλοις δὲ τοῖς ἀδικησομένοις. [9]) οὗτοι
δὲ τί ποιοῦσιν [10]) οἱ νόμοι; πᾶσιν ὑπισχνοῦνται τοῖς ἐν τῇ c.
πόλει δίκην, ἂν [11]) ἀδικηθῇ τις, ἔσεσθαι δι' αὐτῶν [12])
λαβεῖν. ὅταν τοίνυν τῶν παραβαινόντων τινὰ τοὺς νόμους
κολάζητε, οὐ [13]) τοῖς κατηγόροις τοῦτον ἐκδίδοτε, ἀλλὰ
31 τοὺς νόμους ὑμῖν αὐτοῖς [14]) βεβαιοῦτε. [15]) ἀλλὰ μὴν πρός γε d.

---

*Βουλόμενος φθόνον τινά.*] Μειδίας ἰδιωτικὸν ποιῆσαι τὸν ἀγῶνα βουλόμενος χρῆται τῇ ἀντιθέσει· ὁ δὲ ῥήτωρ φησίν, ἵνα μοι [1]) φθόνον κινήσῃ, καὶ πεποίηκεν ὁμολογοῦντα τὸν ἐχθρόν, ὅτι ἀδικεῖ, φοβούμενον δὲ μὴ παραδοθῇ τῷ ἀντιδίκῳ. καὶ γὰρ ἄξιον φθόνου, τὸ ἐκ τοῦ δικαστηρίου παραλαβεῖν τὸν ἐχθρόν, ὥστε χρήσασθαι ὅ τι βούλεται. δείξας δέ, ὅτι οὐκ [2]) αὐτῷ παραδώσουσιν ἀλλὰ τοῖς νόμοις, μεταβαίνει [3]) ἐπὶ τὸ ἕτερον μέρος τό, ὅτι οὐ Δημοσθένης ἐστὶν ὁ ὑβρισθείς, καί φησιν, [4])

(*Ἀλλὰ μὴν πρός γε τὸ τοιοῦτο.*] Ὁ ὅρος τοῦ

1) Ita W. et Lut. pro μή. 2) οὐχ αὐτῷ Lut. 3) Ita W. et Lut. pro μεταβαίει. 4) Post φησιν addit Lut.: ἀλλὰ μήν.] Ἀνθορισμὸς τοῦ διώκοντος οὐ μόνον ὄντα Δημοσθένη ὕβρισεν ἀλλὰ χορηγόν.

---

1) ὑμῖν coni. Reisk. et Spald. 2) συναγαγεῖν k, συλλέγειν γρ. F et mg. Bav. 3) ἔχοι Ald. Hervag. Bav. 4) γὰρ om. Aug. kr. 5) ἀδικηθεὶς Ys. 6) ἑκάστοτε vel ἑκάστοθ' coni. Sp. 7) ποιῆσθε Ald. Hervag. Felic. Paul. 8) Ita Par. 1. Vind. Barocc. Bodl. Aug. Ital. Bav. Lessing., ἀδικήμασιν editi ante Tayl., ἀδικοῦσιν Sch. Hermog. p. 88. 9) Reisk. de suo ἀδικηθησομένοις. 10) ποιήσουσιν Bav. (sed vlg. in mg.) et Σ v. 11) ἐὰν kr. 12) Ita Bu. Be., αὐτῶν vulg. 13) οὐχι Πkr Aug. Reisk. 14) αὐτοὺς Aug. k. 15) βεβεοῦτε Felic.

τὸ τοιοῦτον,[1]) ὅτι „Δημοσθένης“ φησὶν „ὕβρισται“, δίκαιος καὶ κοινὸς[2]) καὶ ὑπὲρ ἁπάντων ἐσθ᾽ ὁ λόγος. οὐ γὰρ εἰς Δημοσθένην ὄντα με ἠσέλγαινε μόνον ταύτην τὴν
472 Bk. ἡμέραν ἀλλὰ καὶ εἰς χορηγὸν ὑμέτερον· τοῦτο δ᾽ ὅσον
32 δύναται, γνοίητ᾽ ἂν ἐκ τωνδί.[3]) ἴστε δήπου τοῦθ᾽, ὅτι c.
τῶν θεσμοθετῶν τούτων οὐδενὶ θεσμοσθέτης ἐστ᾽ ὄνομα ἀλλ᾽ ὁτιδήποθ᾽[4]) ἑκάστῳ· ἂν μὲν τοίνυν ἰδιώτην ὄντα τινὰ αὐτῶν ὑβρίσῃ τις ἢ κακῶς εἴπῃ, γραφὴν ὕβρεως καὶ δίκην κακηγορίας[5]) ἰδίαν[6]) φεύξεται, ἐὰν δὲ[7]) θεσμοθέτην, ἄτιμος[8]) ἔσται καθάπαξ. διὰ τί; ὅτι τοὺς νόμους f.
ἤδη ὁ τοῦτο ποιῶν προςυβρίζει[9]) καὶ τὸν ὑμέτερον κοινὸν στέφανον καὶ τὸ τῆς πόλεως ὄνομα· ὁ γὰρ θεσμοθέτης οὐ-
33 δενὸς ἀνθρώπων ἐστ᾽ ὄνομα ἀλλὰ τῆς πόλεως. καὶ πά-

---

φεύγοντος· „ὕβρισται Δημοσθένης“, ὁ ἀνθορισμὸς τοῦ διώκοντος· „οὐκ ὄντα μόνον Δημοσθένην ἀλλὰ καὶ χορηγόν“, ὅτι οὐ μόνον ὑβριστὴς ἀλλὰ καὶ ἀσεβὴς ὁ Μειδίας. ἐστὶ τοῦτο ὅρος διπλοῦς κατὰ σύλληψιν. B.)

Οὐ γὰρ εἰς Δημοσθένην ὄντα με ἠσέλγαινεν, ἀλλὰ καὶ εἰς χορηγὸν ὑμέτερον.] Τουτέστιν, εἰς ἄρχοντα· μὴ ἔχων δὲ δεῖξαι ὅτι ἄρχων ἐστίν, ἐκ τῆς τοῦ ὁμοίου[1]) παραθέσεως συνίστησι διὰ συλλογισμοῦ.[2]) ὁ θεσμοθέτης ὅταν ἔχῃ τὸν στέφανον τῆς πόλεως, ἔστιν[3]) ὄνομα[4]) ἄρχων. ὁμοίως δὲ διεξιὼν[5]) τὰ ὁμολογούμενα τὸ ἀμφισβητούμενον συνίστησι διὰ συλλογισμοῦ.

1) Ita Bav. W. et Lut., ὁμίου vulg. 2) διὰ συλλογ. συνίστησι καὶ παράδειγμα (voluit παραδείγματος) Bav. 3) ἔστιν] ἔχει W. 4) γρ. ὀνόματι mg. Lut. 5) Ita W. et Lut., διεξιὸν vulg.

---

1) τοιοῦτο Ftv. 2) κοινωνὸς. s. 3) Ita Be., τῶνδε vulg. et Fkrtv. 4) Ita Be., ὁτιδήποτε vulg. 5) κατηγορίας kt Par. 5., Hervag. Felic. Paul. Wolf. 6) ἰδίαν addidit Tayl. ex libris Mss. 7) δὲ om. Hervag. Felic. Lut. 8) αἴτιμος Herv. 9) προϋβρίζει ΥΩs.

λὶν γε τὸν 1) ἄρχοντα ταὐτὸ τοῦτο ἐὰν μὲν ἐστεφανωμένον πατάξῃ 2) τις ἢ κακῶς εἴπῃ, ἄτιμος, ἐὰν δὲ ἰδιώτην,
ἰδίᾳ ὑπόδικος. καὶ οὐ μόνον περὶ τούτων οὕτω ταῦτ' ἔχει 525
ἀλλὰ καὶ 3) περὶ πάντων, οἷς ἂν ἡ πόλις τινὰ ἄδειαν ἢ R. 8.
στεφανηφορίαν ἤ τινα τιμὴν δῷ. οὕτω τοίνυν καὶ ἐμὲ εἰ μὲν ἐν 4) ἄλλαις τισὶν ἡμέραις ἠδίκησέ 5) τι τούτων Μειδίας ἰδιώτην ὄντα, ἰδίᾳ καὶ δίκην προςῆκεν αὐτῷ διδόναι·

---

(Ἐὰν μὲν ἐστεφανωμένον.] Συλλογισμός. B.)

Καὶ οὐ μόνον περὶ τούτων οὕτω ταῦτα ἔχει.] Ἐκ γὰρ τῶν κατὰ μέρος τὸ καθόλου συνίστησιν. Ἄλλως. 1) συλλογισμός, ὅτι οὐ μόνον ὑβριστὴς ἀλλὰ καὶ ἀσεβὴς ὁ Μειδίας. ἐστὶ γὰρ ὅρος διπλοῦς κατὰ σύλληψιν.

Οἷς ἂν ἡ πόλις.] Ἔχει γάρ τινα καὶ ὁ χορηγὸς ἄδειαν, οἷον ἀφιέναι τῆς στρατείας τὸν χορόν, καὶ εἰςάγειν, ὅτε βούλοιτο. εἶτα καταλιπὼν τὸ λέγειν τὰ ἴδια τοῦ θεσμοθέτου καὶ τοῦ ἄρχοντος, ὅπερ ἦν αὐτοῖς κοινὸν πρὸς τὸν χορηγόν, τοῦτο εἶπεν, „στεφανηφορίαν καὶ τιμήν." ὅρα δέ, ὅτι οὐ φανερῶς εἶπεν ἀρχήν, εἶχε γὰρ καὶ ὁ χορηγός τινα ἄδειαν ἐπὶ τῶν χορηγιῶν καὶ τῆς πανηγύρεως.

Οὕτω 2) τοίνυν καὶ ἐμέ.] Κατασκευὴ τῆς ἀσεβείας ἀπὸ τοῦ χρόνου.

Εἰ μὲν ἐν ἄλλαις τισὶν ἡμέραις.] Τοῦτό ἐστι συλλογισμὸς εἰδικῶς 3) εἰςηγμένος. ἐπειδὴ γὰρ ὁ πρότερος καθόλου ὢν αγνωστότερος 4) ἦν τοῖς ἀκούουσι καὶ βιαιότερος, διὰ τοῦτο ἐπήγαγε τὸν εἰδικόν, 5) συνάπτων αὐτὸν 6) τῷ καθόλου καὶ πιθανώτερον ποιῶν τὸν συλλογισμόν.

1) Quae sequuntur, addidi ex Lut. 2) Hoc scholion, quo Ald. Herv. Wolf. carent, addidi ex Bav. et Lut. 3) Ita Bav. Wolf., ἰδικῶς Ald. Hervag. Lut. 4) Bav. γνωστότερος. 5) Ald. Hervag. Lut. ἰδικόν. 6) Bav. ἑαυτόν.

---

1) ἐὰν τὸν ἄρχ. coni. Lambin. 2) πατάξῃς ἢ κακῶς εἴπῃς Σ. 3) καὶ om. Hervag. Felic. Paul. Wolf. 4) ἐν om. tv Ald. Hervag. Felic. Paul. Wolf. et omittendum esse cum Bernhardyo censet Bu. in add. 5) ἰδίκησε Herv. Felic.

34 εἰ δὲ χορηγὸν ὄντα ὑμέτερον ἱερομηνίας [1]) οὔσης πάνθ᾽, [2]) ὅσα ἠδίκηκεν, [3]) ὑβρίσας φαίνεται, δημοσίας ὀργῆς καὶ τιμωρίας δίκαιός [4]) ἐστι τυγχάνειν· ἅμα γὰρ τῷ [5]) Δημοσθένει καὶ ὁ [6]) χορηγὸς [7]) ὑβρίζετο, τοῦτο δ᾽ ἐστὶ τῆς [8]) πόλεως [ὄνομα [9])] καὶ τὸ [10]) ταύταις ταῖς ἡμέραις, αἷς οὐκ ἐῶσιν οἱ νόμοι. χρὴ δὲ ὅταν μὲν τίθησθε [11]) τοὺς νό- h.

(Εἰ δὲ χορηγὸν ὄντα ὑμέτερον.] Κατασκευὴ τοῦ ἀνθορισμοῦ ἐκ τῶν ἀπ᾽ ἀρχῆς ἄχρι τέλους. [1]) ibid. ἱερομηνίας οὔσης] ἱερομηνία ἱερὰ ἑορτὴ κατὰ μῆνα. B.)

Ἅμα γὰρ τῷ Δημοσθένει καὶ ὁ χορηγὸς ὑβρίζετο.] Τοῦτό ἐστι τὸ κατὰ σύλληψιν νόημα. [2]) μετὰ γὰρ τὸν ἀνθορισμόν, ὃν ἐβεβαίωσε τῷ συλλογισμῷ, ἀναγκαῖον ἦν ἐπαγαγεῖν [3]) τὸ κατὰ σύλληψιν, ὥςτε λαβεῖν [4]) δι᾽ αὐτοῦ καὶ τὸν ὅρον καὶ τὸν ἀνθορισμόν.

Χρὴ δὲ ὅταν μὲν θῆσθε [5]) τοὺς νόμους.] Ἐντεῦθεν εἰςέβαλεν [6]) εἰς τὴν τοῦ νομοθέτου διάνοιαν, ἵν᾽ ἐξ ἐκείνης [7]) βεβαιώσῃ τὸν συλλογισμόν. διαφέρει δὲ νόμου διάνοια νομοθέτου διανοίας, ὅτι ἐν μὲν τῇ τοῦ νόμου διανοίᾳ τὸν νόμον αὐτὸν ὡς ἀσαφῆ πρὸς τὸ ἡμῖν συμφέρον ἐξηγούμεθα, τὴν δὲ τοῦ νομοθέτου διάνοιαν ἔξωθεν ἐξετάζομεν, ὅτι γνοὺς οὕτως ἐνομοθέτησεν, οὐκ ὄντων ἀσαφῶν τῶν νόμων.

1) κατασκευὴ — τέλους in Lut. verbis τοῦτο δ᾽ ἐστὶ adscripta leguntur. 2) νόημα addidi ex Bav. 3) ἐπάγειν Bav. 4) ὥςτε συλλαβεῖν αὐτῷ καὶ τὸν Bav. 5) τιθῆσθε Lut. 6) ἐντ. ἡ τ. νομ. διάνοια Bav. 7) ἵνα καὶ ἐξ αὐτῆς Bav.

1) ὑμετερονόμισας (in mg. posito ἱερομηνίας) Ω. 2) παρὰ πάνθ᾽ coni. Reisk. 3) Ita Aug. Bav. Bu. Be. e libris, ut videtur, omnibus; ἠδίκησεν vulg. 4) δίκαιος] ἄξιός Aug. kr. 5) τοῦ Paul. 6) ὁ om. tv. 7) χορὸς pr. Σ. 8) τὸ τῆς Lut. 9) ὄνομα om. ΠΥΩs, in γρ. habet Σ. 10) Ita Aug. Barocc. Lind. Ital. et Be. e plerisque suorum, καίτοι ταύταις F et vulg. ante Buttm., καὶ τοιαύταις Bodl., id quod probat Schaef., καὶ ἔτι ἐν ταύταις coni. Wolf., καὶ ταῦτ᾽ ἐν ταύταις coni. Markland., καὶ ταῦτ᾽ αὐταῖς coni. Reiskius et in ordinem recepit Bu. 11) τιθῆσθε vulg. ante Reisk. rt et Be., τίθησθε Reisk. Bu. Par. 1. Aug. 1.

μους, ὁποῖοί τινές εἰσι σκοπεῖν· ἐπειδὰν δὲ θῆσθε, φυλάττειν καὶ χρῆσθαι· καὶ γὰρ [1]) εὔορκα [2]) ταῦθ᾽ ὑμῖν
35 ἐστι καὶ ἄλλως δίκαια. ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος πάλαι, [3]) ἦν ὁ τῆς αἰκίας, ἦν ὁ τῆς ὕβρεως· εἰ τοίνυν ἀπέχρη [4]) τοὺς τοῖς Διονυσίοις τι ποιοῦντας τούτων κατὰ τούτους τοὺς νόμους δίκην διδόναι, οὐδὲν [5]) ἂν [6]) προςέδει τοῦ-

---

Καὶ ἄλλως δίκαια.] Καὶ χώρις τοῦ ὀμόσαι δηλονότι.

Ἦν ὁ τῆς βλάβης ὑμῖν νόμος.] Ἑτέρα κατασκευή, ὡς ἐστι δημόσια τὰ ἐν ταῖς ἑορταῖς ἀδικήματα, ἀπὸ τῆς γνώμης τῶν νομοθετῶν. ἐπεὶ διὰ τί νόμον ἕτερον τὸν τῆς προβολῆς εἰς χάριν τοῦ Διονύσου, πρεσβεύοντες τὴν πανήγυριν, ἔθεντο, εἰ ἐξήρκουν οἱ πρότεροι; σεμνύνει δὲ τῷ ῥήματι τὸν νόμον, ὀνόματι κεκληκὼς ἱερόν. βούλεται οὖν ἐκ τῆς τοῦ νομοθέτου διανοίας δημόσιον ἀποδεῖξαι τὸ γεγονός, καί φησιν, ὅτι διὰ τοῦτο τὸν περὶ τῶν Διονυσίων νόμον ἔθηκεν, ὄντων περὶ τῆς βλάβης νόμων καὶ τῆς αἰκίας [1]) καὶ τῆς ὕβρεως, πρόδηλον, ὅτι μείζονος τιμωρίας ἀξιῶν [2]) τοὺς περὶ τὴν ἑορτὴν πλημμελοῦντας, καὶ εἶπε τοὺς νόμους τούτους, καθ᾽ οὓς ἀξιοῖ Μειδίας κρίνεσθαι, τοὺς περὶ βλάβης [3]) καὶ τῶν ἄλλων. εἰ γὰρ τούτων ὑπαρχόντων ὕστερον ὁ περὶ [4]) τῶν Διονυσίων ἐτέθη, πρόδηλον, ὅτι οὐ κατὰ τοὺς παλαιοὺς ἀλλὰ κατὰ τὸν ὕστερον ὀφείλει κρίνεσθαι.

Εἰ [5]) τοίνυν ἀπέχρη.] Ἐπαναφορὰ τὸ σχῆμα, ὅταν ὁλόκληρος λέξις ἐπ᾽ ἀμφοῖν τοῖν κώλοιν κατ᾽ ἀρχῆς [6]) γένηται, καί ἐστιν ἐπιμελείας καὶ κάλλους.

1) οἰκίας Ald. Herv. 2) Exspectaveris ἠξίου, sed πρόδηλον, ὅτι eadem dictum est ratione, qua δηλονότι, ut inde non pendeat constructio. 3) βλάβης νόμων Ald. Hervag., βλάβης νόμους. Lut. 4) Ita W., παρὰ vulg. 5) Hoc scholion addidi ex Lut. et Bav. 6) ἀρχὰς Bav.

---

1) γὰρ om. t. 2) ἔνορκα Aug. kr. Bu., ευορκα F. (superscript εν) 3) Lamb. in indic. addit hic ἦν ὁ τῶν βιαίων, quae Bu. ex libris Parisinis, non ab ipso Lambino profecta ratus tanquam genuina tuetur. 4) ἀπόχρη Wolf. 5) οὐδὲν] καὶ οὐδὲν Ω. 6) ἂν] Ita Par. 1. Be., ἂν ὑμῖν πρ. Fkrtv vulg.

δε 1) τοῦ νόμου. ἀλλ' οὐκ ἀπέχρη. 2) σημεῖον 3) δέ· ἔθε- i.
σθε 4) ἱερὸν νόμον αὐτῷ τῷ θεῷ περὶ τῆς ἱερομηνίας.
473 εἴ τις οὖν κἀκείνοις τοῖς προϋπάρχουσι νόμοις καὶ τούτῳ
Bk. τῷ μετ' ἐκείνους τεθέντι καὶ πᾶσι τοῖς λοιποῖς 5) ἐστ' 6) ἔνο-
χος, ὁ τοιοῦτος πότερα μὴ δῷ 7) διὰ τοῦτο δίκην ἢ μείζω
δοίη 8) δικαίως; ἐγὼ μὲν οἶμαι μείζω.
36 Ἀπήγγελλε 9) τοίνυν τίς μοι 10) περιιόντα 11) αὐτὸν 11 Bu.

(Ἀπέχρη.] Ἤρκει. B.)

Εἴ τις οὖν κἀκείνοις.] Ὁμοίως τοῖς περὶ τῆς αἰκίας 1) λέγει καὶ τῆς ὕβρεως. ἔστι 2) δ' ἀντίθεσις συγγνωμονική.

Καὶ τούτῳ τῷ μετ' ἐκείνους τεθέντι.] Τῷ περὶ τῶν Διονυσίων λέγει, ἵν' ἔκ τε τῶν ἰδιωτικῶν νόμων καὶ τοῦ περὶ τὴν ἑορτὴν τὸ κατὰ σύλληψιν βεβαιώσῃ.

Ἀπήγγελλε τοίνυν τίς μοι.] Ἔστι παραδειγματικὴ μέν πως ἡ ἀντίθεσις, εἴςηκται δὲ καὶ κατὰ συγγνώμην ὑπὸ τοῦ ῥήτορος πρὸς τὸ ἑαυτοῦ συμφέρον, ἵνα δειχθῇ ἐπὶ δεήσεις καταφεύγων ὡς ὄντως 3) ἠδικηκώς. ἐπεὶ ὅ γε Μειδίας οὐχὶ συγγνώμην αἰτεῖ, ἀλλὰ τῷ ὅρῳ συνάπτει, φάσκων, ὅτι οὕτως ἰδιωτικόν ἐστι τὸ γεγονός. πρόεδροι γὰρ καὶ θεσμοθέται πληγέντες οὐκ ἐπεξῆλθον, ἀλλὰ ἰδίᾳ διελύσαντο. ὡς εἴ τις αὐτὴν τὴν ὁρικὴν συνῆψεν, οὕτως ἂν αὐτὴν ὁλόκληρον γίνεσθαι. καὶ γὰρ καὶ πρόεδροι καὶ θεσμοθέται πληγέντες ἰδίαν δίκην ἔλαχον. ὁ δὲ Δημοσθένης εἰδὼς τὴν ἰσχὺν τῆς ἀντιθέσεως ἰδίᾳ μὲν τὴν ὁρικήν, ἰδίᾳ δὲ τὴν παραδειγματικὴν εἰςήγαγεν, ἥν τινα μετέστησεν εἰς συγγνώμην. δεῖ γὰρ ἐκ τῶν λύσεων κανονίζειν τὰς ἀντιθέσεις (Συγγνωμονικόν. B.)

1) Ita W. pro ἀδικίας. 2) ἔστι — συγγ. addidi ex Lut. 3) Ita W. et Lut. pro ὄντος.

1) τούτου Aug. k. 2) ἀπόχρη Ald. Herv. Par. 1. 3) τεκμήριον δὲ, ἀποδείξεις δὲ mg. Lut. 4) ἔθεσθαι Ald. Herv. Wolf., ἔθεσθε γὰρ coni. Markland. 5) λοιποῖς] ἄλλοις Aug. kr. 6) ἐστ' vulg. 7) δοίη corr. v., δῷ Ald. Herv. Felic. 8) ἂν δοίη coni. Sp., probant Bu. Be., ἢ κἂν μείζω δοίη coni. Schaef. 9) Ita FΠΣΥΩkrs Aug. Bav. Be., quod Bu. natum putat ex ἀπήγγελε (cf. Bu. Gr. 2, 61 sq.), ἀπήγγειλε editi ante Be. 10) τίς μοι om. pr. Y. 11) περιόντα Ald. Herv., περιόντ' st, περιιόντ' Be.

συλλέγειν καὶ πυνθάνεσθαι, τίσι [1]) πώποτε συμβέβηκεν
ὑβρισθῆναι, καὶ λέγειν τούτους καὶ διηγεῖσθαι πρὸς ὑμᾶς
μέλλειν· οἷον ὦ ἄνδρες Ἀθηναῖοι τὸν πρόεδρον, ὅν ποτέ
φασιν ἐν ὑμῖν ὑπὸ Πολυζήλου πληγῆναι, καὶ τὸν θεσμο-
θέτην, [2]) ὃς ἔναγχος ἐπλήγη τὴν αὐλητρίδα ἀφαιρούμενος,
καὶ τοιούτους τινάς, ὡς ἐὰν πολλοὺς ἑτέρους δεινὰ [3]) καὶ
πολλὰ πεπονθότας ἐπιδείξῃ, ἧττον ὑμᾶς ἐφ᾽ οἷς ἐγὼ πέ- 526 R.
37 πονθα ὀργιουμένους. ἐμοὶ δ᾽ αὖ τοὐναντίον ὦ ἄνδρες Ἀθη- b.
ναῖοι δοκεῖτε [4]) ποιεῖν ἂν εἰκότως, εἴπερ [5]) τοῦ κοινῇ βελ-
τίστου δεῖ μέλειν [6]) ὑμῖν. τίς γὰρ οὐκ οἶδεν ὑμῶν, τοῦ
μὲν πολλὰ τοιαῦτα [7]) γίγνεσθαι τὸ μὴ κολάζεσθαι τοὺς
ἐξαμαρτάνοντας αἴτιον ὄν, [8]) τοῦ δὲ μηδένα ὑβρίζειν τὸ
λοιπὸν τὸ δίκην τὸν ἀεὶ ληφθέντα, [9]) ἣν προσήκει, διδόναι
μόνον [10]) αἴτιον ἂν γενόμενον; εἰ μὲν τοίνυν ἀποτρέψαι c.
συμφέρει τοὺς ἄλλους, τοῦτον καὶ δι᾽ [11]) ἐκεῖνα κολαστέον,
38 καὶ μᾶλλόν γε, ὅσῳ [12]) περ ἂν ᾖ [13]) πλείω καὶ μείζω· εἰ δὲ
παροξῦναι, [14]) καὶ τοῦτον καὶ πάντας [15]) ἐατέον. ἔτι τοίνυν d.

---

Ὃς ἔναγχος ἐπλήγη.] Οἱ θεσμοθέται τῶν τε ἄλλων ἐπεμελοῦντο καὶ δὴ καὶ τῆς εὐκοσμίας, καὶ νύκτωρ περιιόντες ἐσκόπουν, μή τινες ἁρπαγαὶ γίγνωνται. τότε οὖν εὑρών τινας νεωτέρους ἁρπάζοντας τὴν αὐλητρίδα, ἠβουλήθη ἀφελέσθαι, καὶ οὕτως ὑπ᾽ αὐτῶν ἐπλήγη.

Ἔτι τοίνυν.] Ὁρᾷς, ὅπως συγγνωμονικὴν ἐποί-

---

1) „F. εἴ τισι." Schaef. 2) θεσμοδότην. s. 3) Ita ΠΣΥΩkrs, recepit Di., probat Schaef., πολλὰ καὶ δεινὰ vulg. 4) δοκεῖ γη Hervag. Felic. Paulin. 5) εἴπερ] Ita Be., εἴπερ ὑπὲρ Fkrt vulg., ὑπὲρ uncis circumscripsit Reisk., tuetur Bu. 6) δεῖ με μέλειν Ω. 7) τὰ τοιαῦτα Bu., non monito lectore. 8) ὂν om. kr. Aug. 9) ἁλόντα mg. Lut. 10) μόνον] νόμον Aug. 11) δ᾽ ἐκεῖνα Ald. 12) ὅσω Ald. Herv. 13) ᾖ om. k. Aug. 14) Ita distinxit Ald. Felic. Lut. Be.; erat εἰ δὲ παροξῦναι καὶ τοῦτον καὶ πάντας, ἐατέον. 15) πάντας] πάντας τοὺς ἄλλους Baroec. Aug. kr. Reisk.

οὐδ᾽ ὁμοίαν οὖσαν τούτῳ κἀκείνοις συγγνώμην εὑρήσομεν. [1]) πρῶτον μὲν γὰρ ὁ τὸν θεσμοθέτην πατάξας τρεῖς εἶχε προφάσεις, μέθην, ἔρωτα, ἄγνοιαν, διὰ τὸ σκότους καὶ νυκτὸς τὸ πρᾶγμα γενέσθαι. [2]) ἔπειθ᾽ ὁ Πολύζηλος ἐκεῖνος [3]) ὀργῇ καὶ τρόπου [4]) προπετείᾳ φθάσαι [5]) τὸν λογισμὸν ἁμαρτὼν [6]) ἔφησεν· [7]) οὐ γὰρ ἐχθρός γε ὑπῆρχεν ὤν, οὐδ᾽ ἐφ᾽ ὕβρει τοῦτ᾽ ἐποίησεν. ἀλλ᾽ οὐ Μειδίᾳ [8]) τού- e.
τῶν οὐδέν ἐστιν [9]) εἰπεῖν· καὶ γὰρ ἐχθρὸς [10]) ἦν, καὶ μεθ᾽
474 Bk. ἡμέραν εἰδὼς ὕβριζε, [11]) καὶ "οὐκ ἐπὶ τούτου [12]) μόνον ἀλλ᾽

---

ησε τὴν ἀντίθεσιν, λέγων, ὅτι οὐκ ἄξιός [1]) ἐστι συγγνώμης· [2]) καὶ δίδωσιν αὐτοῖς τῆς συγγνώμης [3]) τὰς προφάσεις, Μειδίας δὲ τούτων οὐδεμίαν ἔχει τὴν πρόφασιν. τί οὖν; ἀντεξετάζει τὰ πραχθέντα αὐτῷ τε καὶ τῷ θεσμοθέτῃ, καὶ μέμφεται, διότι μὴ ἐπεξῆλθε τοῖς ὑβρισταῖς. ποιεῖται δὲ τὴν λύσιν ἐκ διαφορᾶς· συγκρίνει γὰρ τὰς [4]) πληγὰς καὶ τοὺς πλήξαντας. δίδωσι δὲ τῷ κατὰ τὸν θεσμοθέτην ἀπολογίας πλείονας διὰ τὸ τοῦ προσώπου σεμνόν. τρία γὰρ πάθη, κατασχόντα τὴν ψυχὴν καὶ βιασάμενα τὴν διάνοιαν, ἐργάζεται καὶ τὴν παραίτησιν.

1) ἀξιῶ Bav. 2) συγγνώμη εἶτα κέχρηται ἀντεξετάσει διπλῇ, τίνα μὲν Μειδίᾳ πέπρακται καὶ τοῖς ἄλλοις ὑβρισταῖς, τίνα δὲ αὐτῷ καὶ τοῖς ὑβρισθεῖσιν. Bav. 3) Ita W. pro γνώμης. 4) γὰρ καὶ τὰς Lut.

---

1) εὕρομεν t. 2) γεγενῆσθαι Aug. Barocc. kr. Reisk. 3) ἐκεῖνος] Ita Aug. Barocc. Reisk. Bu. Be., om. vulg. et FYΩstv. 4) τρόπου om. Par. 1. 5) φθάσας Par. 5. Aug. Barocc. Ital. Ven. Reisk. Bu. Be., φθάσαι vulg. ante Reisk. ΣYΩst, φθάσαι (ς) F. Bav., προφθάσας γρ. Σ, φθασάσῃ coni. Wolf. et Reisk. 6) ἁμαρτὼν libri omnes, ἁμαρτεῖν e coni. Wolfii scripsit Be. 7) ἔφησεν FΠΣYΩstv et vulg. ante Reisk. Be. Di., ἔπαισεν Bodl. Ital. Ven. Barocc. Aug. Reisk. Bu., ἔφησεν (ἔπαισεν) Bav., ἔπεσεν γρ. Σ Lessing. 8) μειδία Lut. 9) ἔνεστιν mavult Markl., ἐστιν Wolf. Lut., ἐστι Ald. Herv. 10) ἐχθρῶς Ald. post. 11) ὑβρίζειν Ys. 12) τούτων (ου) F. Bav., τούτων tv.

39 ἐπὶ πάντων φαίνεται προῃρημένος με ὑβρίζειν. καὶ μὴν [1]) f.
οὐδὲ τῶν πεπραγμένων ἐμοὶ καὶ τούτοις οὐδὲν ὅμοιον ὁρῶ.
πρῶτον μὲν γὰρ ὁ θεσμοθέτης οὐχ ὑπὲρ ὑμῶν οὐδὲ τῶν
νόμων φροντίσας οὐδ᾿ ἀγανακτήσας φανήσεται, ἀλλ᾿ ἰδίᾳ [2]),
πεισθεὶς ὁπόσῳ [3]) δήποτε ἀργυρίῳ, καθυφεὶς τὸν ἀγῶνα·
ἔπειθ᾿ ὁ πληγεὶς ἐκεῖνος ὑπὸ [4]) τοῦ Πολυζήλου ταὐτὰ τοῦτα
ἰδίᾳ διαλυσάμενος [5]), ἐρρῶσθαι πολλὰ τοῖς νόμοις εἰπὼν 527 R.
40 καὶ ὑμῖν, οὐδ᾿ εἰσήγαγε τὸν Πολύζηλον. εἰ μὲν τοίνυν ἐκεί- g.
νων κατηγορεῖν βούλεταί τις ἐν τῷ παρόντι, δεῖ λέγειν ταῦ-
τα· εἰ δ᾿ ὑπὲρ ὧν ἐγὼ τούτου κατηγόρηκα ἀπολογεῖσθαι,
πάντα μᾶλλον ἢ ταῦτα λεκτέον. [6]) πᾶν [7]) γὰρ τοὐναν-
τίον ἐκείνοις αὐτὸς μὲν οὔτε λαβὼν οὐδὲν [8]) οὔτ᾿ ἐπιχειρή-
σας λαβεῖν φανήσομαι, τὴν δ᾿ ὑπὲρ τῶν νόμων καὶ τὴν
ὑπὲρ τοῦ θεοῦ καὶ τὴν ὑπὲρ ὑμῶν τιμωρίαν δικαίως φυ-
λάξας καὶ νῦν ἀποδεδωκὼς ὑμῖν. μὴ τοίνυν ἐᾶτε ταῦτ᾿ αὐ- 12 Bu.
τὸν [9]) λέγειν, μηδ᾿ ἂν [10]) βιάζηται, πείθεσθ᾿ ὡς δί-
41 καιόν τι λέγοντι. [11]) ἂν γὰρ ταῦθ᾿ οὕτως ἐγνωσμένα ὑπάρ-
χῃ παρ᾿ ὑμῖν, οὐκ ἐνέσται [12]) αὐτῷ λόγος οὐδὲ εἷς. [13])

---

*Εἰ μὲν τοίνυν ἐκείνων.*] Αὐτὸν τὸν Μειδίαν πεποίηκε κατηγοροῦντα τοῦ προέδρου καὶ τοῦ θεσμοθέτου, ὅτι τοῖς ὑβρίσασιν οὐκ ἐπεξῆλθον. [1])

*Καὶ νῦν ἀποδεδωκὼς ὑμῖν.*] Κυρίως ἀποδεδωκώς· αὐτοῖς γὰρ ὠφείλετο· ἀποδίδωσι δὲ τὸ ἀλλότριόν τις.

1) ἐπεξῆλθε Bav.

---

1) καίτοι mg. Lut. 2) ἡδίᾳ Herv. 3) ὁπόσα Ald. Herv. 4) ὑπὲρ Bav. 5) διαλησάμενος Herv. 6) λεκτέα Σ Aug. 7) πάντα ΣΥr. 8) οὐδὲν om. Aug. r. 9) αὐτὸν ταῦτα kr. 10) ἐὰν r. 11) λέγει tv, λέξοντι coni. Markland. 12) ἔνεστ᾿ kr Aug., ἔτ᾿ ἔσται corr. s, probat Buttm., quem cf. in Add. 13) οὐδεὶς Aug.

ποία γὰρ πρόφασις, τίς ἀνθρωπίνη καὶ μετρία σκῆψις φαίνεται τῶν πεπραγμένων αὐτῷ; ὀργὴ νὴ Δία· καὶ γὰρ τοῦτο τυχὸν [1]) λέξει. ἀλλ᾽ ἃ μὲν ἂν [2]) τις ἄφνω τὸν λο- b.
γισμὸν φθάσας ἐξαχθῇ [3]) πρᾶξαι [4]) κἂν ὑβριστικῶς [5]) ποιήσῃ, δι᾽ ὀργήν γ᾽ ἔνι [6]) φῆσαι [7]) πεποιηκέναι· ἃ δ᾽ ἂν ἐκ πολλοῦ [8]) συνεχῶς ἐπὶ πολλὰς ἡμέρας παρὰ τοὺς νόμους πράττων τις φωρᾶται, οὐ μόνον δήπου τοῦ [9]) μὴ μετ᾽ ὀργῆς ἀπέχει, [10]) ἀλλὰ καὶ βεβουλευμένως [11]) ὁ τοιοῦτος ὑβρίζων ἐστὶν ἤδη φανερός. [12])

42 Ἀλλὰ μὴν ὁπηνίκα καὶ πεποιηκὼς ἃ [13]) κατηγορῶ, καὶ c.

---

*Ποία γὰρ πρόφασις.*] Μεταβέβηκεν ἐφ᾽ ἑτέραν συγγνωμονικὴν ἀντίθεσιν, ὅτι οὐ δι᾽ ὀργὴν ἀλλ᾽ ἐκ προνοίας. ἐπάγει λοιπὸν τὰς κατασκευάς, ὅτι τοῖς ἑκουσίοις πλημμελήμασιν οὐδεμίαν χρὴ συγγνώμην ἀπονέμειν.

*Ὀργὴ νὴ Δία.*] Ὁρισμοὶ δεικνύντες, τί μὲν ὀργή, τί δὲ ὕβρις, ὡς τὸ μὲν ἐκ τοῦ παραχρῆμα, τὸ δὲ ἐκ μελέτης συμβαίνει. (Συγγνωμονικὴ ἀντίθεσις. B.)

*Ἀλλὰ μὴν ὁπηνίκα.*] Ἐντεῦθεν ἡ ἀρχὴ τῆς κα-

---

1) τυχὼν Ωr. 2) ἀλλὰ μὴν ἂν Σ, ἀλλὰ μὴν ἂν τις ἄφνω τὸν λογισμὸν φθάσας ἐξαχθῇ πράξεις ὑβριστικὰς ποιήσει [voluitne ποιῆσαι?] Galen. T. V. p. 503 ed. Lips., ἀλλὰ μὲν ἂν coni. Iurin., ἀλλὰ μὴν ἃ ἂν τις ἀφν. τ. λ. φ. ἐξαχ. πρᾶξαι, κἂν ὑβριστικῶς ποιήσῃ coni. Dind., ἀλλὰ μὴν ἄν τις — ἐξαχθῇ τι πρᾶξαι coni. Schaef. 3) ἐξαφθῇ r. 4) πρᾶξαι] Ita Par. 1. Reisk. Bu. Be., τι πρᾶξαι Fkrtv et vulg. ante Reisk. 5) vulg. ὑβριστικῶς τοῦτο ποιήσῃ. Eieci τοῦτο, cuius loco τι in Aug. kr extat, cum ΥΩs et Galeno. 6) γ᾽ ἔνι] πάνυ pr. Π, om. ΥΩs; an voluerunt γ᾽ ἂν φῆσαι? 7) φῆσαι Ald. Herv. 1. 2. 8) ἐκ τοῦ πολλοῦ Ω. 9) τοῦ om. t. 10) μὴ tolli iubet Wolf., τοῦ et ἀπέχει uncis circumscripsit Reisk., idem insuper coni. οὐ μόνον μὴ μετ᾽ ὀργῆς ἧς ἀπέχει ἀλλὰ καί. 11) Ita Bu. Be. ΠΣΥΩ et corr. sv, βεβουλευμένος (ω) t, βεβουλευμένος vulg. 12) φανερῶς Aug. kr. 13) ἃ — πεποιηκὼς om. pr. Π.

ὕβρει[1]) πεποιηκὼς φαίνεται, τοὺς νόμους ἤδη σκοπεῖν
475 δεῖ[2]) ὦ ἄνδρες δικασταί· κατὰ γὰρ τούτους δικάσειν ὀμω-
Bk. μόκατε. καὶ θεωρεῖθ', ὅσῳ[3]) μείζονος ὀργῆς καὶ ζημίας ἀξιοῦσι τοὺς ἑκουσίως[4]) καὶ δι' ὕβριν πλημμελοῦντας[5]) 
43 τῶν ἄλλως πως ἐξαμαρτανόντων.[6]) πρῶτον μὲν τοίνυν οἱ d.
περὶ τῆς βλάβης οὗτοι νόμοι πάντες, ἵν' ἐκ τούτων ἄρξω-
μαι, ἂν[7]) μὲν ἑκὼν[8]) βλάψῃ, διπλοῦν, ἂν δ' ἄκων, 528
ἁπλοῦν τὸ βλάβος[9]) κελεύουσιν ἐκτίνειν[10]), εἰκότως· ὁ R.
μὲν γὰρ παθὼν πανταχοῦ βοηθείας δίκαιος[11]) τυγχάνειν, τῷ δράσαντι δ' οὐκ ἴσην τὴν ὀργήν, ἄν θ' ἑκὼν ἄν τ' ἄκων, ἔταξεν ὁ νόμος. ἐπειθ' οἱ φονικοὶ τοὺς μὲν ἐκ προνοίας απο-

---

τασκευῆς. οὐδὲ γὰρ ἀρνεῖται ὁ Μειδίας ἃ πεποίηκεν, ὅτι δ'[1]) οὐ δι' ὀργὴν ἀλλ' ἐξ ἐπιβουλῆς. (Κατασκευή. ὅτι τοῖς ἑκουσίως πλημμελοῦσιν οὐδεμίαν χρὴ συγγνώμην ἀπονέμειν· τῆς γὰρ συγγνωμονικῆς ἀντιθέσεώς ἐστιν ἡ λύσις. Β.)

*Τοὺς νόμους ἤδη δεῖ σκοπεῖν.*) Ὅτι[2]) τὰ ἑκούσια μειζόνως κολάζουσιν.

*Πρῶτον μὲν τοίνυν.*] Καθ' οὓς βούλεται Μειδίας ἀγωνίζεσθαι, κατ' αὐτοὺς δείκνυσιν αὐτὸν μεγάλης τιμωρίας ἄξιον. ἵνα[3]) κἂν ἰσωτικὸς ὁ ἀγὼν ἀποδειχθῇ, μὴ μικρὸν μηδὲ φαῦλον ὑποστῇ τὸ τίμημα.

*Ἐπειθ' οἱ φονικοί.*] Καὶ τούτους τοὺς νόμους

1) δ' Wolf., ut videtur, ex coni. addidit. 2) οἱ (voluit οἵ) pro ὅτι Wolf., non monito lectore. 3) ἵνα — τίμημα addidi ex Lut.

---

ει
1) ὕβριν v, ὕβριν YΩst Par. 2. 5. indices Aldi. Herv., γρ. δι' ὕβριν mg. Lut. 2) Ita ΠΣYΩrs Bu. Be., δεῖ σκοπεῖν ceteri et vulg. 3) ὅσῳ Ald. Herv. 4) Ita Par. 5. Aug. Bav. Felic. Paulin. Bu. Be., ἑκουσίους t Par. 1., ἑκουσίᾳ rsv et vulg.
ταvόντ
ante Bu. 5) ὕβριν τι πλημμελ. Aug. kr Reisk. 6) ἐξαμαρτόντων Bav. 7) ἐὰν k. 8) Ita ΠΣYΩstv vulg. et Dind., ἑκών τις βλάψῃ Aug. Barocc. Reisk. Bu. Be. 9) τὸ βλάβος om. t. 10) ἐκτίνειν κελεύουσιν r. 11) Ita Dind. cum Σ, δίκαιός ἐστι τυγχ. vulg.

κτιννύντας [1]) θανάτῳ καὶ ἀειφυγίᾳ καὶ δημεύσει τῶν ὑπαρ-
χόντων ζημιοῦσι, τοὺς δ' [2]) ἀκουσίως αἰδέσεως [3]) καὶ φι-
44 λανθρωπίας πολλῆς ἠξίωσαν. [4]) οὐ μόνον δ' ἐπὶ τούτων 13 Bu.
τοῖς ἐκ προαιρέσεως ὑβρισταῖς χαλεποὺς ὄντας ἰδεῖν ἔστι
τοὺς νόμους, ἀλλὰ καὶ ἐφ' ἁπάντων. τί δὴ γάρ δή ποτε [5])

---

ἀκολούθως παρέλαβεν. ἐπειδὴ γὰρ πληγὰς εἴληφεν, ἐκ δὲ τῶν πληγῶν καὶ τὰ τραύματα παρακολουθεῖ, ἐκ δὲ τῶν τραυμάτων φόνοι, διὰ τοῦτο κἀκείνοις τοῖς νόμοις ὑπεύθυνον αὐτὸν ἀποδείκνυσι, δοκῶν μὲν ὡς εἰς παράδειγμα αὐτοὺς λαμβάνειν, [1]) τῇ δὲ ἀληθείᾳ [2]) κἀκείνοις ἔνοχον αὐτὸν ποιῶν. (Περὶ φόνου διαφορᾶς. B.)

*Αἰδέσεως.*] Οἷον ἀξιώσεως. εἰ γὰρ δεηθείη τινὸς τῶν συγγενῶν τοῦ ἀνῃρημένου, εἶτα ἐκεῖνος ἐπιτρέποι, [3]) καταλύεται ὁ φόνον ἀκούσιον δράσας.

*Οὐ μόνον δ' ἐπὶ τούτων.*] Ὅτι τὴν συγγνωμονικὴν ἀντίθεσιν λύει, πρόδηλον καὶ ἐκ τούτων. φησὶ γάρ, ὅτι ὁ ἐκ προαιρέσεως ποιήσας μεγάλης τιμωρίας ἐστὶν ἄξιος. Τὸ γὰρ ἐκ προαιρέσεως προσθείς, μεγάλας τιμωρίας [4]) ἐποίησεν, ἵνα κἂν δόξῃ τοιοῦτος ὁ ἀγὼν εἶναι, μείζους παρασχῇ τὰς δίκας τῶν ἄλλων. [5]) πῶς; ἢ δι' ἄγνοιαν, ἢ δι' ὀργήν, ἢ δι' ἔρωτα, ὡς εἴρηκεν ἐν τοῖς ἄνω.

1) λαμβάνει Hervag. Lut. 2) ἀληλείᾳ Herv. 3) Ita W. et mg. Lut., ἐπιτρέπει Hervag. 4) μεγάλας τὰς τιμωρίας Lut. 5) πῶς; ἢ δι' ἄγνοιαν] „Nescio quo ista pertineant, nisi quaedam desint" W. Vide an scribendum sit τῶν ἄλλως πως ἢ δι' ἄγνοιαν, ἢ δι' ὀργήν, ἢ δι' ἔρωτα, ἢ διὰ μέθην ὑβρισάντων, ὡς εἴρηκεν.

---

1) ἀποκτειννύντας Aug. 2) τοὺς δ' — ἠξίωσεν (sic) Bekk. Anecd. 361. 32., ubi pro τοὺς extat τοῦ. 3) Ita Par. 1. 2. Aug. Bav. Barocc. Lindenbr. Ital. Vind., indices Ald. Herv. Felic. Paul., Ulpian. Bekk. Anecd., ἀνέσεως vulg. ante Reisk. 4) ἠξιώσεν Bekk. Anecd. 5) Ita ΥΩ, τί δὴ γάρ ποτ' ΠΣs Dind., τί γὰρ δήποτε vulg., τί γὰρ δήποτ' Reisk. Be., τί γὰρ δήποτε; ἂν et paullo post καὶ πάλιν, τί δήποτε; ἂν distinxit Bu.

ἂν [1]) τις ὀφλὼν [2]) δίκην μὴ ἐκτίνῃ, [3]) οὐκέτ' [4]) ἐποίησεν ὁ νόμος τὴν ἐξούλης [5]) ἰδίαν, ἀλλὰ προστιμᾶν ἐπέταξε τῷ δημοσίῳ; καὶ πάλιν τί δή ποτε [6]) ἂν [7]) μὲν ἑκὼν παρ' b.

---

*Οὐκ ἔτ' ἐποίησεν ὁ νόμος.*] Ἔλαβεν εἰς ἀπόδειξιν πάλιν οἰκεῖον παράδειγμα. ἐπειδὴ ἐξούλης ἔχει δίκην πρὸς αὐτόν, βούλεται δεῖξαι νῦν, ὅτι καὶ ὑπὲρ ἐκείνης δημοσίαν δίκην ὀφείλει ὑποσχεῖν. ἐξούλης δὲ ἦν, ὅτε ἐκινδύνευεν ἐκπεσεῖν κτήματός τινος, ἢ χωρίου, ἢ οἰκίας, διὰ τὸ μὴ ἐκτετικέναι τὴν καταδίκην κατὰ χρόνον τὸν ὡρισμένον, καὶ ἐγένετο δημόσιον τὸ τίμημα. ἐπειδὴ γὰρ καὶ οἱ διαιτηταὶ νόμιμοί τινες ἦσαν δικασταί, τούτων δὲ παρήκουεν ὡς [1]) μὴ κατὰ προθεσμίαν ἀποδιδοὺς τὸ κατεγνωσμένον, δημοσίαν ἐδίδου τὴν δίκην. [2]) ἐξούλης ὄνομα δίκης κατὰ τῶν μὴ στερξάντων οἷς ὥρισαν οἱ δικάζοντες. ὁ δὲ νοῦς τοιοῦτος· ἐάν τις ἰδιωτικὴν νικήσῃ δίκην, [3]) λαμβάνει τὸν ἡττηθέντα ὑπεύθυνον. εἶτα ἂν μὴ εἴσω τῆς προθεσμίας ἐκτισθῇ, ὃ κατεδικάσθη, ἀλλὰ γένηται ὑπερήμερος, ἔξεστι γράψασθαι [4]) καὶ ἐπιλαβέσθαι αὐτοῦ τῶν χρημάτων, ἕως οὗ πληρώσῃ τὸ ὁρισθέν. εἰ δὲ κωλύοι τὸν ἁπτόμενον καὶ ἀπελαύνοι, γράφεται αὐτὸν κατὰ τὴν ἐξούλην, καὶ γίγνεται μετὰ τοῦ ἰδιωτικοῦ καὶ δημόσιον τὸ πρᾶγμα λοιπόν, ὅτι ἠπείθησε τοῖς δικασταῖς καὶ τοῖς νόμοις. (Οἱ δίκην νικήσαντες, ὥςτε ἀπολαβεῖν χωρίον, ἢ οἰκίαν, ἔπειτα ἐμβατεύειν κωλυόμενοι, ἢ [5]) ἐμβατεύσαντες ἐξελαυνόμενοι, δίκην εἰσάγουσι πρὸς τοὺς ἐξελαύνοντας ἢ οὐκ ἐῶντας ἐμβατεύειν, καὶ αὕτη ἡ δίκη ἐξούλης καλεῖται· εἴρηται δὲ ἀπὸ τοῦ ἐξέλλειν· οἱ παλαιοὶ γὰρ τὸ κωλύειν καὶ ἀπελαύνειν ἐξέλλειν ἔλεγον. B.)

*Τί δήποτε ἐὰν μὲν ἑκὼν παρ' ἑκόντος.*] Ἐπειδὴ ἠδύνατο λέγειν ὁ Μειδίας, ὅτι ὁ χρυσοχόος ἔδωκε

1) An ὁ μὴ? 2) Ita W. pro νίκην. 3) Erat νίκην. 4) ἔξεστιν ἅψασθαι Hudtwalker de arbitr. p. 138. 5) ἢ scripsi pro μή; cf. Hudtwalk. de arbitr. p. 136. not. 82.

---

1) ἐάν Π. 2) Ita Din., ὄφλων vulg., ὀφείλων Aug. kr. 3) Ita Be., ἐκτίσῃ vulg, et Fkrstv. 4) οὐκέτ'] Ita Tayl. Reisk. Bu. Be. Barocc. Vind. Bav. Lind. Aug. Ital., οὐκ ἔτι mg. Lessing. mg. Lut. Ulp., οὐκ tv et vulg. 5) ἐξούλην FΣkr Aug., ἐξούλην Bav. 6) δήποτ' Be. 7) ἐὰν ΠΩ.

ἑκόντος τις λάβῃ τάλαντον ἓν ἢ δύο ἢ [1]) δέκα, καὶ ταῦτ' ἀποστερήσῃ, οὐδὲν αὐτῷ πρὸς τὴν πόλιν ἐστίν· ἂν [2]) δὲ μικροῦ πάνυ τιμήματος ἄξιόν τις [3]) λάβῃ, βίᾳ δὲ τοῦτο ἀφέληται, τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι κελεύ-
45 ουσιν, ὅσονπερ δὴ [4]) τῷ ἰδιώτῃ; διὰ τί; [5]) ὅτι πάνθ', ὅσα τις βιαζόμενος πράττει, [6]) κοινὰ ἀδικήματα καὶ κατὰ τῶν ἔξω τοῦ πράγματος ὄντων ἡγεῖτο ὁ νομοθέτης· τὴν c.
μὲν γὰρ ἰσχὺν ὀλίγων, τοὺς δὲ νόμους ἁπάντων εἶναι, καὶ τὸν μὲν πεισθέντα ἰδίας, τὸν δὲ βιασθέντα δημοσίας δεῖσθαι βοηθείας. διόπερ καὶ τῆς ὕβρεως αὐτῆς τὰς μὲν γρα-

---

μοι τοὺς στεφάνους, διὰ τοῦτό φησιν, ὅτι εἰ μὲν παρ' ἑκόντος ἔλαβεν, [1]) ἀκίνδυνον, εἰ δὲ βίᾳ παρ' ἄκοντος, τοῖς διπλασίοις ὑπεύθυνος καθέστηκας.

*Καὶ τὸν μὲν πεισθέντα ἰδίας.*] Πρὸς τὸν θεσμοθέτην καὶ τὸν πρόεδρον ἀποτείνεται.

*Τὸν [2]) βιασθέντα.*] Περὶ αὑτοῦ νῦν αἰνίττεται.

*Διόπερ καὶ τῆς ὕβρεως αὐτῆς.*] Ὅπερ ἄνω δι' αἰνιγμάτων ἐπεδείκνυε, τοῦτο νῦν σαφῶς ἔθηκεν, ὅτι πᾶσα ὕβρις δημόσιόν ἐστιν. [3]) εἰ γὰρ πᾶσιν ἔξεστι κατηγορεῖν τοῦ ὑβριστοῦ, πρόδηλον, ὅτι κοινὸν ἁπάντων ἔγκλημα. καὶ πεποίηκε τὴν ὕβριν ἴσον τοῖς φόνοις καὶ πάσαις ἱεροσυλίαις καὶ [4]) προδοσίαις καὶ τοῖς τοιούτοις, ἐφ' ὧν ἔξεστι παντὶ τῷ βουλομένῳ κατηγορεῖν.

(*Τὰς μὲν γραφάς.*] Τὰς κατηγορίας ἢ τῶν νόμων ἢ τῶν ψηφισμάτων καὶ [1]) παρανόμων γραφήν, καὶ ἐπ' ἄλλοις πολλοῖς δημοσίοις ἀδικήμασιν. B.)

1) Malim ἔλαβες. 2) τὸν δὲ βιασθ. Lut. 3) δημόσιόν ἐστιν ἀδίκημα Wolf. 4) καὶ] καὶ ταῖς Lut. 5) Malim ψηφισμάτων παρανόμων καλεῖ γραφάς καί.

---

1) Ita Be., ἢ καὶ δέκα vulg. et Fv. 2) ἐὰν r. 3) Reisk. mavult τι. 4) Ita Bu. Be. cum Lind. Ital. Vind. et plurimis Bekkeri, ὅσον περ ἂν τῷ Aug. Barocc. kr Reisk., ὅσον περ τῷ vulg. et Ftv. 5) διὰ τί om. ΣΥ pr. ΠΩ et Dind. 6) ὅσ' ἂν — πράττῃ kr, ὅσα ἂν — πράττῃ Aug. Barocc. Bu.

φὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ, τὸ δὲ τίμημα ἐποίησεν
ὅλον δημόσιον· τὴν γὰρ πόλιν ἡγεῖτο ἀδικεῖν οὐ [1]) τὸν πα-
476 θόντα μόνον τὸν ὑβρίζειν ἐπιχειροῦντα, καὶ δίκην ἱκανὴν
Bk. τὴν [2]) τιμωρίαν εἶναι τῷ παθόντι, χρήματα δὲ [3]) οὐ 529
46 προσήκειν τῶν τοιούτων ἐφ᾽ ἑαυτῷ [4]) λαμβάνειν. καὶ το- R.
σαύτῃ γ᾽ [5]) ἐχρήσατο ὑπερβολῇ, ὥστε κἂν εἰς δοῦλον d.

---

*Τὸ δὲ τίμημα ἐποίησεν ὅλον δημόσιον.*] Πῶς ἀνωτέρω προειπών, „εἰ δ᾽ ἐγὼ τὴν ἐπὶ τῶν ἰδίων δικῶν πλεονεξίαν ἀφεὶς“, νῦν φησιν, ὅτι ἐποίησε τὸ τίμημα ὅλον δημόσιον; ἐναντίον γὰρ τὸ [1]) λέγειν ὅτι ἐξῆν ὕβρεώς μοι δικαζομένῳ χρήματα λαμβάνειν, τῷ [2]) νῦν φάσκειν, ὅτι τὸ τίμημα τῶν ὕβρεων δημόσιόν ἐστιν. ῥητέον οὖν, ὅτι εἰ μὲν αὐτὸς ὁ παθὼν κατηγορεῖ τῆς ὕβρεως, αὐτὸς ἐλάμβανε καὶ τὸ τίμημα τὸ ἐκ τῶν νόμων· εἰ δὲ ἕτερος ἦν ὁ κατηγορήσας, δημόσιον ἐγίγνετο τὸ τῆς [3]) καταδίκης. ἀκολούθως οὖν εἶπεν, ὅτι τὸ τίμημα ἐποίησεν ὅλον δημόσιον, διὰ τὸ προειπεῖν, ὅτι τὰς γραφὰς ἔδωκεν ἅπαντι τῷ βουλομένῳ.

*Χρήματα δ᾽ οὐ προσῆκεν.* [4])] Οὐ περὶ αὐτοῦ λέγει τοῦ παθόντος ἀλλὰ τῶν ἔξωθεν κατηγορούντων.

*Καὶ τοσαύτῃ γε ἐχρήσατο ὑπερβολῇ.*] Καὶ διὰ τούτου τοῦ νόμου δείκνυσιν οὐκ ἄξιον συγγνώμης Μειδίαν, εἴπερ καὶ τοῖς ὑβρίζουσι τοὺς δούλους θάνατός ἐστιν ἡ ζημία.

*Ὥστε κἂν εἰς δοῦλον ὑβρίζῃ τις.*] Τῇ ὁμωνυμίᾳ σοφίζεται. ὕβρις μὲν γὰρ καὶ ἡ τῶν πληγῶν, ὕβρις δὲ καὶ ἡ αἰσχρὰ συνουσία, περὶ ἧς ὁ νομοθέτης λέγει. οὕτω γὰρ εἴρηκεν Αἰσχίνης [5]) ἐν τῷ κατὰ Τιμάρχου, [6]) οὐδὲ κατὰ

1) τῷ Lut. 2) Ita W. de coni. pro τὸν νῦν, τὸ νῦν Lut. 3) τὸ addidit W. 4) προσήκειν Lut. 5) Αἰσχιν.] Ita W., ἔχειν vulg. 6) spectat, ni fallor, ad p. 3. 20. (42 sq. Reisk.)

---

1) Ita Be. ex Σ, οὐχὶ vulg. 2) τὴν om. Σ. 3) δὲ] δ᾽ vulg. post Reisk. 4) Malim ἐφ᾽ ἑαυτῶν Thucyd. 1. 17. Matth. Gr. Gr. p. 1163 d. 5) γ᾽ om. Bav., τοταύτῃ γ᾽ Felic.

ὑβρίζῃ τις, ὁμοίως ἔδωκεν ὑπὲρ τούτου γραφήν. [1]) οὐ γὰρ ὅστις ὁ πάσχων ᾤετο δεῖν σκοπεῖν, ἀλλὰ τὸ πρᾶγμα ὁποῖόν τι τὸ γιγνόμενον· ἐπειδὴ [2]) δὲ [3]) εὗρεν οὐκ ἐπιτήδειον, μήτε [4]) πρὸς δοῦλον μήθ' ὅλως ἐξεῖναι [5]) πράττειν ἐπέταξεν. [6]) οὐ γάρ ἐστιν, οὐκ ἔστιν [7]) ὦ ἄνδρες Ἀθηναῖοι 14
τῶν πάντων οὐδὲν ὕβρεως ἀφορητότερον, οὐδ' ἐφ' ὅτῳ Bu.
μᾶλλον ὑμῖν ὀργίζεσθαι προσήκει. Ἀνάγνωθι δ' αὐτόν μοι λαβὼν [8]) τὸν τῆς ὕβρεως νόμον· οὐδὲν γὰρ οἷον [9]) ἀκούειν αὐτοῦ τοῦ νόμου.

---

τῶν οἰκετῶν τὰς αἰσχρὰς γίνεσθαι μίξεις. τὸ γοῦν ὄνομα τῆς ὕβρεως ἐπ' ἀμφοτέρων λεγόμενον ἄδειαν τῷ ῥήτορι τοῦ χρῆσθαι τῷ σοφίσματι δέδωκεν.

Οὐ γὰρ ὅστις ὁ πάσχων.] Μὴ τοῦτο σκόπει, φησίν, εἰ Δημοσθένης ἐστὶν ὁ ὑβρισθείς, ἀλλ' εἰ τὸ ὑβρίζειν παρὰ τοὺς νόμους [1]) μεμελέτηται. [2])

Οὐ γάρ ἐστιν οὐκ ἔστι. [3])] Ἐπειδὴ γλίσχρως ἐδόκει ποιεῖν, καὶ περὶ τῶν δούλων ἀγωνιζόμενος, καθόλου τὸ τῆς ὕβρεως ηὔξησεν, ὡς ἀφόρητον, κἂν εἰς δοῦλον γίγνηται.

Οὐδὲν [4]) γὰρ οἷον ἀκούειν αὐτοῦ τοῦ νόμου.] Οὐδὲν γὰρ ἄλλο τοιοῦτον ἡδὺ ὡς τὸ ἀκούειν τοῦ νόμου, καὶ οὐδὲν τοιοῦτον εἰπεῖν ἡμεῖς [5]) ὃ [6]) αὐτὸς ὁ νόμος βοᾷ τε καὶ δείκνυσιν.

1) Ita W., τοῖς νόμοις vulg. 2) μεμέληται mg. Lut. 3) ἐστιν Lut. 4) οὐδὲ Herv. 5) ἡμῖν Lut., ἡμεῖς ἔχομεν W. de coni. 6) οἷον coni. W.

---

1) Huc spectat Athen. VI. 267. a. 2) ἐπεὶ Aug. r. 3) δ' Be. 4) „Malim μηδὲ — μηδ'" Reisk. 5) ἐξεῖναι ταῦτα πράττειν Aug. Barocc. Par. 5. kr. 6) ἐπέτρεψεν ΠΣΥΩs Par. 2. Ven. Ital. Vind. et γρ. F, receperunt Bu. Dind., γρ. ἐπέτρεπεν mg. Bav. 7) οὐκ ἔστιν om. Ω. 8) λαβὼν om. Aug. ΠΩkr et pr. s. 9) οὐδὲν — νόμου Phot. s. v. οἷον et οὐδέν.

47 ΝΟΜΟΣ.[1]

Ἐάν [2] τις ὑβρίζῃ [3] εἴς [4] τινα ἢ παῖδα [5] ἢ γυ- b.
ναῖκα ἢ ἄνδρα τῶν [6] ἐλευθέρων ἢ τῶν [7] δούλων, ἢ
παράνομόν τι ποιήσῃ εἰς τούτων τινά, γραφέσθω πρὸς
τοὺς θεσμοθέτας ὁ βουλόμενος Ἀθηναίων, οἷς ἔξ-
εστιν· οἱ δὲ θεσμοθέται εἰσαγόντων εἰς τὴν Ἡλιαίαν
τριάκοντα ἡμερῶν, ἀφ' ἧς ἂν ἡ [8] γραφή, ἐὰν μή τι
δημόσιον κωλύῃ· εἰ δὲ μή, ὅταν ᾖ [9] πρῶτον οἷόν
τε. ὅτου δ' ἂν καταγνῶτε [10] ἡ [11] Ἡλιαία, τιμάτω
περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν δοκῇ [12] ἄξιος εἶ- c.

---

(Εἰς τὴν ἡλιαίαν.] Εἰς τὸ δικαστήριον. B.)

---

1) Legem om. Aug. 2) ἐὰν — ἄνδρα Bekkeri Anecd. 176. 26. 3) ὑβρίζῃ] ὑβρίσῃ Parr. 1. 5. k. Reisk. Bu. 4) εἴς τινα] Ita Bav. Parr. 1. 5. Anecd. Ald. Reisk. Bu. Be., qui nullam profert scripturae discrepantiam; τινὰ vulg. ante Reisk. Aeschines c. Tim. 41. utram lectionem commendet, difficile est dictu; nam ipsam legem recitando verbis utitur his: ἐάν τις Ἀθηναίων ἐλεύθερον παῖδα ὑβρίσῃ; commentando autem de lege in hunc modum loquitur: ἐν ᾧ (νόμῳ) διαῤῥήδην γέγραπται, ἐάν τις ὑβρίζῃ εἰς παῖδα ἢ ἄνδρα ἢ γυναῖκα. Quare legem quidem ipsam, uti iam significavi libro de lite Athen. 322, ita conceptam esse arbitror: ἐάν τις ὑβρίσῃ τινά, idemque postea Schaefero quoque placuit, in Dem. autem invitis libris nihil mutaverim. 5) ἢ παῖδα om. r. 6) Malim ἢ τῶν ἐλευθέρων uti ap. Aesch. extat. 7) ἢ καὶ τῶν δούλων mavult Reisk. 8) ἡ] ἂν ᾖ ἡ coni. Markl., idque in ordinem recepit Dind., sed cf. Buttm. in Add. 9) ᾖ] ἢ Ald., om. Felic. Paul. 10) Ita libri omnes, nisi quod γρ. καταγνῶται in Barocc., καταγνῶτι Tayloro teste in aliis libris, nescio quibus, reperiatur. καταγνῷ mg. Lut. Tayl. Be. sola coniectura ducti; καταγνῶ τι Bu. Dind.; mihi et litterarum vestigia et aliarum legum similitudinem (cf. D. c. Timocr. 720. 29. 733. 14.) intuenti probabilius videtur, quod Wolfius divinando assecutus est, καταγνωσθῇ, ἡ ἡλ. Idem probant Heraldus Animadvv. in Salm. II. 10. 11. Matth. de iud. 1, 249. 11) ἡ om. ΠΥΩr. 12) Ita Par. 1. 5. Bav. Ald. Be., δόξῃ k et vulg. cf. c. Timocr. 720. extr.

ναι [1]) παθεῖν ἢ ἀποτῖσαι. ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας [2]) κατὰ τὸν νόμον, [3]) ἐάν τις μὴ ἐπεξέλθῃ ἢ ἐπεξιὼν μὴ μεταλάβῃ [4]) τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω [5]) χιλίας δραχμὰς τῷ δημοσίῳ. ἐὰν [6]) δὲ ἀργυρίου τιμηθῇ [7]) τῆς ὕβρεως, [8]) δεδέσθω, ἐὰν [9]) ἐλεύθερον ὑβρίσῃ, μέχρι [10]) ἂν ἐκτίσῃ.

48 Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι τοῦ νόμου τῆς φιλανθρω- d.
πίας, [11]) ὃς οὐδὲ τοὺς δούλους ὑβρίζεσθαι ἀξιοῖ. τί οὖν 530 R.
πρὸς θεῶν; εἴ τις εἰς τοὺς βαρβάρους ἐνεγκὼν τὸν νόμον

---

*Ἀκούετε ὦ ἄνδρες Ἀθηναῖοι.*] Οὐκ [1]) ἠκούσατε ἀλλὰ καὶ νῦν βοῶντος ἀκούετε, τοῦ νόμου. [2]) φησίν. οὐκ ἀνθρώπου τινός, οὐ γάρ ἐστιν ἡ κρίσις τῶν δούλων πρὸς τοὺς ἐλευθέρους, ἀλλ' ἡ τύχη τὸ διαλλάττον ἐκαινοτόμησεν. ὅσῳ δ' ἂν μᾶλλον ἐπαινέσῃ τὸν περὶ τῶν δούλων νόμον, τοσούτῳ χαλεπώτερα δείξει τὰ Μειδίᾳ [3]) κατ' αὐτοῦ τολμηθέντα.

*Τί οὖν πρὸς θεῶν.*] Ἐπὶ γένος ἀνήμερον ἀνήνεγκε τὴν κρίσιν τῶν νόμων. εἰ γὰρ καὶ τῆς βαρβάρων ὠμότητος κρείττων ὁ νόμος, ὥστε κἀκείνους ἐπαινέσαι τὴν φιλανθρωπίαν τοῦ γράμματος, ποῖόν τινα χρὴ νομίζειν εἶναι Μειδίαν τὸν καταφρονήσαντα τοῦ νόμου;

1) οὐκ] εἰ οὐκ W. de coni. 2) τοῦ νόμου] Ita Lut., ὁ νόμος vulg. 3) Ita W. pro *Μειδίου*.

---

1) εἶναι om. r. 2) γραφὰς ἢ δίκας ἰδίας coni. Reisk. 3) νόμον] νόμον τοῦτον mavult Tayl. 4) καταλάβῃ s. 5) ἀποτισάτω Ald. Herv. Felic. 6) Lambinus ex ingenio partim, partim ex Aeschin. c. Tim. l. c. coni. — neque enim Buttmanni iudicium probo hoc additamentum e libris Mss. profectum rati — ὁ δ' ὑβρίσας εἴτ' εἰς ἐλεύθερον εἴτ' εἰς δοῦλον, ἐὰν μὲν θανάτου τιμηθῇ, αὐθήμερον τεθνάτω, ἐὰν δ' ἀργυρίου, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ. 7) τιμηθῇ om. pr. r. 8) γρ. τῷ δημοσίῳ, ἐὰν ἀργυρίου τιμηθῇ τῆς δὲ ὕβρεως ἐὰν ἐλεύθερον mg. Lut., τῷ δημοσίῳ. ἐὰν δὲ ἀργυρίου τιμηθῇ, δεδέσθω, μέχρις ἂν ἐκτίσῃ coni. Tayl., τιμηθῇ ἡ τῆς ὕβρ. coni. Reisk. 9) ἐὰν δὲ ἐλεύθερον FΠΣΥΩ ἂν Bav. Ald. 10) Ita Be. ΠΥΩ ἕν, μέχρις vulg. 11) φιλανθρωπίας Ald. post., Herv.

τοῦτον, παρ' ὧν τὰ ἀνδράποδα εἰς τοὺς Ἕλληνας κομίζε-
ται, 1) ἐπαινῶν ὑμᾶς καὶ διεξιὼν περὶ 2) τῆς πόλεως εἴποι
49 πρὸς αὐτούς, ὅτι „εἰσὶν Ἕλληνές τινες 3) ἄνθρωποι οὕ-
τως ἥμεροι καὶ φιλάνθρωποι τοὺς τρόπους, ὥστε πολλὰ
ὑφ' ὑμῶν ἠδικημένοι, καὶ φύσει τῆς πρὸς ὑμᾶς 4) ἔχθρας
477 αὐτοῖς 5) ὑπαρχούσης πατρικῆς, ὅμως οὐδ' ὅσων ἂν τι-
Bk. μὴν καταθέντες δούλους κτήσωνται, οὐδὲ τούτους ὑβρί-
ζειν ἀξιοῦσιν, ἀλλὰ νόμον δημοσίᾳ τὸν ταῦτα κωλύσοντα
τέθεινται 6) τουτονί, καὶ πολλοὺς ἤδη 7) παραβάντας τὸν
50 νόμον τοῦτον 8) ἐζημιώκασι θανάτῳ," εἰ ταῦτ' ἀκού- e.

---

*Παρ' ὧν τὰ ἀνδράποδα.*] Πάλαι 1) γὰρ οὐκ ἐξῆν Ἕλληνα εἶναι δοῦλον, ἀλλὰ βαρβάροις ἐκέχρηντο.

*Ὅτι εἰσὶν Ἕλληνές τινες.*] Οὕτω τοῦ πλασθέντος προσώπου δοκοῦσιν οἱ λόγοι.

*Καὶ φύσει τῆς πρὸς ἡμᾶς ἔχθρας.*] Ἐστὶ μὲν τοῦτο κοινόν, αὐξήσεως δὲ ἕνεκα εἴληπται. διτταὶ δέ εἰσιν αἱ ἔχθραι, ἡ μὲν ἐκ φύσεως, ἡ δὲ ἐκ προαιρέσεως. καὶ γὰρ καὶ φιλίαι εἰσὶ διτταί, ἡ μὲν φύσει πρὸς τοὺς συγγενεῖς, ἡ δὲ ἐκ τοῦ παρατυχόντος συμβαίνουσά.

*Ἀλλὰ νόμον δημοσίᾳ.*] Τοῦτόν φησιν, ὃν μετὰ χεῖρας ἔχω. 2) οὐ χαρίζομαι τοῖς λόγοις, ἀναγινώσκω 3) τὰς συλλαβάς, ἔχω πλησίον τὸν ἔλεγχον, αὐτὸν ἥκω κομίζων τὸν νόμον, οὐκ ἐφθόνησα 4) ὑμῖν τῆς γνώσεως.

*Καὶ πολλοὺς ἤδη παραβάντας.*] Ἵνα μή τις ὑπολάβῃ, ὅτι φιλάνθρωπος μὲν ὁ νόμος, παραβαίνεται δὲ καὶ καταφρονεῖται, εἶπεν, ὡς θανάτῳ τις ἤδη παραβὰς τοῦτον κεκόλασται.

1) Malim ἔχει. 2) Ita W. et Lut., πάλιν vulg. 3) Ita Lut., ἀναγνώσκω vulg. 4) Ita W. et Lut. pro ἐφθόνησαν.

---

1) νομίζεται ΥΩs. 2) ὑπὲρ Π. 3) Ita Bu. Be., εἰσί τινες Ἕλληνες F et vulg. 4) ἡμᾶς mg. Lut. 5) αὐτῆς k. 6) τεθῆναι ΥΩs. 7) ἤδη om. Σ. 8) τοῦτον om. tr.

σαιεν[1]) καὶ συνεῖεν οἱ βάρβαροι, οὐκ ἂν οἴεσθε δημοσίᾳ πάντας[2]) ὑμᾶς[3]) προξένους αὐτῶν[4]) ποιήσασθαι; τὸν τοίνυν[5]) οὐ[6]) παρὰ τοῖς[7]) Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον ἀλλὰ καὶ παρὰ τοῖς βαρβάροις εὖ δόξαντ' ἂν[8]) ἔχειν, σκοπεῖσθ'[9]) ὁ παραβάς, ἥντινα δοὺς δίκην ἀξίαν ἔσται δεδωκώς.

51 Εἰ μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι μὴ χορηγὸς ὢν 15 Bu.

---

Καὶ συνεῖεν οἱ βάρβαροι.] Ἀνοητότεροι γὰρ καὶ ἧττον τῶν Ἑλλήνων νοῆσαι δυνάμενοι.

Οὐκ ἂν οἴεσθε.] Ἐπειδὴ γὰρ φυσικὸς πόλεμός ἐστι τοῖς βαρβάροις πρὸς τοὺς Ἕλληνας, καὶ διὰ τοῦτο οὐ θαῤῥοῦντες ἐπιμίγνυνται τοῖς Ἕλλησι, διὰ τοῦτό φησιν, ὅτι παρ' ὑμῖν μόνοις οὐκ ἂν φοβηθεῖεν καταλῦσαι, μαθόντες ὑμῶν[1]) τὴν φιλανθρωπίαν.

(Προξένους.] Προστάτας, φροντιστάς. B.)

Τὸν τοίνυν μὴ παρὰ τοῖς Ἕλλησι μόνον.[2])] Συμπεράσματι κέχρηται τοῦ νοήματος, μᾶλλον δὲ καὶ[3]) ὅλης τῆς συγγνωμονικῆς ἀντιθέσεως, δεικνύς, ὅτι[4]) οὐδὲ μιᾶς φιλανθρωπίας ἄξιος Μειδίας.

Εἰ μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι χορηγὸς ὢν.] Ἐντεῦθεν εἰσέβαλεν εἰς τὸ πρός τι, βουλόμενος αὐξῆσαι τὸ ἔγκλημα, καὶ γέγονεν ἀκόλουθος ἡ εἰσαγωγὴ τοῦ κεφαλαίου. εἰ γὰρ ὁ τοὺς δούλους ὑβρίζων οὐκ ἄξιος συγγνώμης, πόσῳ μᾶλλον ὁ τὸν χορηγὸν τυπτήσας; ἔχει μὲν οὖν[5]) αὔξησιν τὸ πρός τι τοῦ ἐγκλήματος, οὐ μὴν

1) Ita W. et Lut. pro ὑμῖν. 2) νόμον Ald. Herv. 3) καὶ et συγγνωμονικῆς om. Bav. 4) ὅτι om. Bav. 5) οὖν add. Wolf. de coni.

---

1) ἀκούσειαν Aug. kr. 2) ἅπαντας kr. 3) Ita Aug. Bav. Ald. mg. Lut. Bu. Be., qui nullam adnotavit scripturae discrepantiam, ἡμᾶς vulg. 4) αὐτῶν προξ. kr, αὑτῶν vulg. ante Lut. 5) „Lego ὁ τοίνυν οὐ παρὰ τὸν παρὰ τοῖς Ἕλλησι μόνον εὐδοκιμοῦντα νόμον ἀλλὰ καὶ τοῖς βαρβάροις εὖ δόξαντ' ἂν ἔχειν." Wolf. 6) μὴ mg. Lut. 7) παρὰ τὸ τοῖς Hervag. Felic. Paul. Wolf. 8) ἂν om. kr Aug. 9) σκοπεῖσθ' v.

ταῦτ'[1]) ἐπεπόνθειν ὑπὸ Μειδίου, ὕβριν ἄν τις μόνον κατέγνω[2]) τῶν πεπραγμένων αὐτῷ· νῦν δέ μοι δοκεῖ, κἂν ἀσέβειαν εἰ καταγιγνώσκει[3]), τὰ[4]) προςήκοντα ποιεῖν. ὥστε b.

---

ἀπήλλακται τῶν ἀγώνων. ἀποδεικτικῶς γὰρ αὐτῷ χωροῦσιν αἱ αὐξήσεις. τεττάρων δὲ ὄντων τῶν τόπων τοῦ[1]) πρός τι, ἀπὸ τοῦ μείζονος, καὶ τοῦ[2]) ἐλάττονος, καὶ τοῦ ἐναντίου, καὶ τοῦ ἴσου, τοῖς πᾶσι κέχρηται, καὶ πρῶτόν γε ἔθηκε τὸν ἀπὸ τοῦ μείζονος. (Ἐντεῦθεν εἰςέβαλεν εἰς τὸ πρός τι, βουλόμενος αὐξῆσαι τὸ ἔγκλημα, καὶ γέγονεν ἀκόλουθος ἡ εἰςαγωγὴ τοῦ κεφαλαίου. ηὔξησε τὸ[3]) κεφάλαιον ἐκ τῶν τεσσάρων τόπων τοῦ πρός τι, τοῦ μείζονος, τοῦ ἐλάττονος, τοῦ ἐναντίου, καὶ τοῦ ἴσου. B.)

Νῦν δέ μοι δοκεῖ.] Τοῦτό τινες μὴ νοήσαντες ὅτι αὐξήσεως εἴληπται ἕνεκεν, περὶ ἀσεβείας εἶναι τὴν κρίσιν ἀπεφήναντο. εἶτα προςέθηκε τὴν ἀπόδειξιν τοῦ ἄξιον αὐτὸν εἶναι καὶ ἀσεβείας κρίνεσθαι. φανερῶς μὲν γὰρ αὐτοῦ ἀσεβείας κατηγορεῖν ὀκνεῖ διὰ τὴν σαθρότητα τῶν πραγμάτων, πειρᾶται δὲ διὰ τῆς ἔξωθεν βίας καὶ τοῦτο κατασκευάζειν. τίς οὖν ἡ κατασκευὴ τῆς ἀσεβείας; κατὰ μαντείας τοὺς χοροὺς συγκροτοῦμεν, καὶ στεφανηφοροῦμεν, καὶ κνισσῶμεν[4]) τὰς ἀγυιάς. οὐκοῦν ὁ τύπτων τοὺς ἐστεφανωμένους[5]) κατὰ τὰς μαντείας ἀσεβεῖ. ὅθεν καὶ δῆλον, ὡς οὐκ ἔστιν ἀσεβείας ἡ κρίσις· οὐ γὰρ τὸν Διόνυσον εἶναί φησι τὸν ἀσεβηθέντα, ἀλλὰ τὰς μαντείας. κνισσᾶν[6]) μέντοι τὰς ἀγυιὰς τὸ θύειν τοῖς Ἑρμαῖς. ἀγυιὰς γὰρ τοὺς Ἑρμὰς ἐκάλουν κατὰ στέρησιν, διὰ τὸ μὴ χεῖρας ἔχειν μηδὲ πόδας. γυῖα δὲ τὰ μέλη, ἐξ οὗ καὶ Ὅμηρος·[7]) γυῖα δ' ἔθηκεν ἐλαφρὰ πόδας καὶ χεῖρας ὕπερθεν. (Ὁ τύπτων τοὺς κατὰ τὰς μαντείας ἐστεφανωμένους εἰς τὰς μαντείας ἀσεβεῖ. B.)

1) τῶν mg. Lut. 2) Addidi ex Bav. τοῦ. 3) τὸ] Malim δὲ τό. 4) Ita W. et Lut., κνοσῶμεν vulg. 5) Ita Bav. et Lut., στεφανωμένους vulg. 6) κνισᾶν Ald. Herv. hic et infra. 7) Il. *E*, 122.

---

1) ταῦτ' post ἐπεπόνθειν ponit r, om. k. 2) Ita Bu. Be. κατέγνω μόνον vulg. et Ftv. 3) καταγιγνώσκει] Ita vulg. ante Reisk. eamque probat Schaef., καταγιγνώσκοι Aug. F Y Ω s t v mg. Lut. Reisk. Bu. Be., καταγιγνώσκῃ mg. Lut. 4) τὰ] τις τὰ F Y Ω s t v et vulg. ante Reisk., τις om. Aug., uncis circumdedit Reisk., deleverunt Bu. Be.

γὰρ δήπου τοῦθ᾽ [1]), ὅτι τοὺς χοροὺς ὑμεῖς [2]) ἅπαντας τούτους καὶ [3]) τοὺς [4]) ὕμνους τῷ [5]) θεῷ ποιεῖσθε [6]) οὐ μόνον κατὰ τοὺς νόμους τοὺς περὶ τῶν Διονυσίων ἀλλὰ καὶ κατὰ τὰς μαντείας, ἐν αἷς ἁπάσαις ἀνῃρημένον εὑρήσετε [7]) τῇ πόλει, ὁμοίως ἐκ Δελφῶν καὶ ἐκ Δωδώνης, χοροὺς ἱστάναι κατὰ τὰ πάτρια καὶ κνισᾶν [8]) ἀγυιὰς [9])
52 καὶ στεφανηφορεῖν. Ἀνάγνωθι δέ μοι λαβὼν αὐτὰς τὰς μαντείας.

## ΜΑΝΤΕΙΑΙ [10]). 531 R. c.

Αὐδῶ Ἐρεχθείδαισιν [11]) ὅσοι [12]) Πανδίονος ἄστυ [13])
ναίετε [14]) καὶ πατρίοισι νόμοις ἰθύνεθ᾽ ἑορτάς,

---

Καὶ ὕμνους οὓς [1]) τῷ θεῷ ποιεῖτε.] Ἀνιεροῦτε αὐτοὺς [2]) τῷ θεῷ, ἢ εἰς τὸ ὑμνεῖν αὐτοὺς παρασκευάζετε.

Ἀνῃρημένον. [3])] Ἀναδοθέν, μεμαντευμένον.

Κνισσᾶν [4]) ἀγυιάς.] Κνίσσης καὶ θυμιαμάτων [5]) πληροῦν τὰς ὁδούς, οἱ δὲ ἀγυιάς φασι τοὺς Ἑρμάς.

(Ἀνάγνωθι δέ μοι.] Πρῶτον ἀπὸ τοῦ μείζονος. B.)

1) οὓς om. significatur in Lut. 2) Ita W. pro ἑαυτούς. 3) Hoc schol. in sola Lut. extat. 4) Ita W. et Lut., κνισᾶν, κνίσης vulg. 5) Ita Lut., θυμάτων vulg.

---

1) τοῦτο vulg. ante Reisk. 2) ὑμεῖς om. t. 3) καὶ om. Fkr Bav. Aug. 4) τοὺς add. Be. ex Σ. 5) ὕμνους οὓς τῷ θεῷ ΠΣΥΩs et schol. 6) ποιεῖτε Aug. Par. 1. ΠΥΩkr Be. 7) εὑρήσεται k. 8) Ita Aug. FΠΣΥΩkrs et pr. v Be. Dind., τιμᾶν Par. 5., qui Wolfio voluisse videtur θυμιᾶν, quod sit interpretamentum vulgatae; κνισσᾶν vulg. 9) ἀνιὰς Ω. 10) Vaticinia absunt ab Aug., in eodem est μαντεία. 11) Ita Bu. Be. Par. 1. Less., ἐρεχθείδεσσιν
αι
kv et vulg. ante Be., ἐρεχθίδεσσιν FΣ, ἐρεχθείδεσσιν t. Malim ἐρεχθείδῃσιν, cf. Hermann. ad Orphic. p. 700. Buttm. Gr. max. 1. p. 148. 12) ὅσσοι F Bav., ὥσει Hervag., ὅσα Par. 1. 13) ἄστη Hervag. 14) ναίοιτε Yrs, utrumque dat Bav., νέοιτε. Ω.

μεμνῆσθαι Βάκχοιο, καὶ εὐρυχόρους [1]) κατ᾽ ἀγυιὰς ἱστάναι [2]) ὡραίων Βρομίῳ χάριν [3]) ἄμμιγα πάντας, καὶ κνισσᾶν [4]) βωμοῖσι κάρη στεφάνοις πυκάσαντας.

Περὶ ὑγιείας θύειν καὶ εὔχεσθαι Διὶ Ὑπάτῳ, Ἡρα- d.
κλεῖ [5]), Ἀπόλλωνι [6]) Προστατηρίῳ [7]) · περὶ τύχας
478 Bk. ἀγαθᾶς Ἀπόλλωνι Ἀγυιεῖ, Λατοῖ [8]), Ἀρτέμιδι, καὶ κατ᾽ [9]) ἀγυιὰς [10]) κρατῆρας ἱστάμεν καὶ χορούς, καὶ στεφανηφορεῖν [11]) κατὰ τὰ [12]) πάτρια [13]) θεοῖς Ὀλυμπίοις [14]) πάντεσσι καὶ πάσαις, ἰδίας [15]) δεξιὰς καὶ ἀριστερὰς ἀνίσχοντες [16]), καὶ [17]) μνασιδωρεῖν.

53 ΕΚ [18]) ΔΩΔΩΝΗΣ ΜΑΝΤΕΙΑΙ [19]). Τῷ δήμῳ e.
τῷ [20]) Ἀθηναίων ὁ τοῦ Διὸς σημαίνει. ὅτι τὰς ὥρας [21]) παρηνέγκατε τῆς θυσίας καὶ τῆς θεωρίας, αἱ-

---

*Παρηνέγκατε.* [1])] *Παρήλθετε.*

1) Hoc schol. extat in sola Lut.

---

1) *εὐρυχώρους* Ald. Hervag. Wolf., *εὐρυχωρους* (ό) t. 2) *στάναι* Felic. 3) *ὡραῖον — χορον* Hemsterh. ad Lucian. Nigrin. 15. Fortasse scribendum *ὡραίῳ — χορὸν.* 4) *κνισᾶν* Dind. 5) *ὑπ. καὶ Ἡρακλεῖ* FΠΣΥΩstv et vulg. ante Reisk., *καὶ* om. Par. 1. et vulg. post R., malim *καὶ Ἡρακλεῖ καὶ Ἀπόλλωνι.* 6) *Ἀπόλλονι* Hervag. 7) *προπάτορι* (ω) pr. r. 8) *ἀγυειλατου* F, *ἀγυειλατου* Σ, *ἀνειλατοῖ* s, *ἀγνοοῖ λατοῖ* Ω. 9) [*κατ᾽*] *κατά τ᾽* s. 10) Verius videtur, quod extat apud Dem. adv. Macar. 1073. 21., *καὶ κνισᾶν ἀγυιὰς καὶ κρατῆρας ἱστάμεν.* 11) *στεφ. καὶ κατὰ* s et Lut. 12) *τὰ* om. ΠΥΩs et pr. r; hinc Bu. Dind. *καττὰ*, quod etiam in or. adv. Mac. extat. 13) post *πάτρια* Bu. mediam stigmen posuit. 14) *Ὀλυμπίοις καὶ Ὀλυμπίαις* adv. Mac. 15) *ἰδίας*] *ὁσίας* coni. Wolf., *πάσαισι δίας* vel *κοινῇ καὶ ἰδίᾳ* coni. Reisk., *ἰθείας* coni. Bu., deletum mavult Tayl., et om. adv. Macart. 16) *ἀνίσχοντας* mg. Lut. Ital. adv. Macart. idemque probant Wolf. et Tayl. 17) *καὶ* om. Bu. cum or. adv. Mac. 18) *ἑτέρα. ἐκ* vulg. et k, *ἑτέρα* om. Bav. Par. 1. Bu. Be., uncis circumscripsit Reisk. 19) *μαντεία* Π. 20) *τῷ*] Ita Bu. Be., *τῶν* vulg. et Ωkrtv. 21) *ὅρας* Paul.

ρετοὺς [1]) πέμπειν κελεύει θεωροὺς [2]) ἐννέα [3]) καὶ τούτους [4]) διὰ ταχέων τῷ Διὶ τῷ Ναΐῳ τρεῖς [5]) βοῦς καὶ πρὸς ἑκάστῳ δύο βοήσεις [6]), τῇ δὲ [7]) Διώνῃ βοῦν καὶ ἄλλα [8]) ἱερεῖα καὶ τράπεζαν χαλκῆν, καὶ [9]) πρὸς τὸ ἀνάθημα, ὃ ἀνέθηκεν ὁ δῆμος ὁ Ἀθηναίων.

ΕΤΕΡΑ [10]). Ὁ τοῦ Διὸς σήμαιν' [11]) ἐν Δωδώνῃ [12])· Διονύσῳ δημοτελεῖ [13]) ἱερεῖον τέλειον [14]), καὶ

---

1) θεωρίας, αἱρετοὺς δὲ Wolf. Markl. de coni. 2) Asterisco notatur θεω*ρους in Ald. Herv. 3) ἐννέα a nonnullis Mss. abesse et in Italico eius loco ἕνεκα extare, auctor est Tayl. 4) τούτους τοὺς vulg. ante Reisk. et r, τούτου τοὺς FΣYtv Bav. mg. Lessing. Ald. Hervag., τοῦτο τοὺς Π, καὶ τούτους omisso articulo Felic. Paul. Wolf. Reisk. Be. 5) τῷ δὲ τῷ ἀροτρεῖς Ald. Herv. Paul.; illud spatiolum expletum est a correctore Weimarano inserenda voce δωδωναίῳ, in Lessing. litteris ναρω, in mg. ab alia manu τομάρῳ, in Bodl. κτησίῳ ἢ νεμέῳ, Bav. δὲ τῶν ἀροτρὶς, Σ τωναροτρις, F τῶν ἀρω τρὶς, corr. r τῷ ναρω τρεῖς, Y τῶν αρω τρεῖς, Π τῶν ἀρωτρεῖς; idemque (litteris ων macula opertis appositoque in mg. τομάρω) Ω; τῶν ἀρωτρεῖς stv, τῷ δωδωναίῳ ἀροτρεῖς vulg., Reisk. τῷ δωδ. uncis circumdedit, Be. Διὶ τῷ ναρω. 6) βοιήσεις FΠYΩs Bav. et corr. Σ, βοιωσῃ corr. r, οἷς nonnullos opinari legendum esse adnotatur in Ital., δύο βοΐσσας vel βοΐδας coni. Wolf., ὄϊς aut ὄϊας coni. Tayl., δύο βόϊς ἴσας vel βόϊς ἐΐσας coni. Reisk., βοΐσκας id. in ind. Dem. p. 165. — Buttmannus totum locum in hunc modum constituit: θεωροὺς ἕνεκα τούτου, τοὺς δὲ ἀπάγειν τῷ Διὶ τῷ ἐν Τομάρῳ (vel τῷ Ναΐῳ) τρεῖς βοῦς καὶ πρὸς ἑκάστῳ δύο οἷς. 7) δὲ om. FΠΣ et pr. Y Paul. 8) καὶ ἄρνα ἱερεῖα Boeckh. in Prooem. ad ind. lect. in univ. Berol. Aest. 1830 hab. p. 8. 9) καὶ τράπεζαν χαλκῆν πρὸς τὸ ἀνάθημα Reisk. Boeckh. l. c., recte, nisi praestat καὶ τράπεζαν χαλκῆν ἀναθεῖναι πρὸς τό. 10) ἑτέρα om. Bav. Par. 1. et librorum Bekkeri plerique omnes, om. Bu. 11) σημαίνει Ital. ind. Lamb. Bu. Dind. 12) σημαίνει. δόμεν διονύσῳ δημοτελεῖ ἱερ. τέλ., aut σημ. ἐν Δωδώνῃ διον. δημ. ἱερ. τέλειον θῦσαι coni. Reisk. 13) δημοτελεῖν Ω, δημοτελεῖν coni. Lambin., cui assentiuntur Tayl. et Reisk. in ind. p. 203. 14) δημοτελῆ ἱερὰ τελεῖν coni. Bu.

κρατῆρα κεράσαι καὶ χοροὺς ἱστάναι· Ἀπόλλωνι Ἀποτροπαίῳ βοῦν θῦσαι [1]), καὶ στεφανηφορεῖν ἐλευθέρους καὶ δούλους, καὶ ἐλινύειν [2]) μίαν ἡμέραν. Διὶ Κτησίῳ βοῦν λευκόν.

54 Εἰσὶν [3]) ὦ ἄνδρες Ἀθηναῖοι καὶ αὗται [4]) καὶ ἄλλαι 16
πολλαὶ μαντεῖαι "τῇ [5]) πόλει κἀγαθαί. [6]) τί οὖν ἐκ τού- Bu. 532
των ὑμᾶς ἐνθυμεῖσθαι δεῖ; ὅτι τὰς μὲν ἄλλας θυσίας τοῖς R.
ἐφ' ἑκάστης μαντείας προφαινομένοις θεοῖς [7]) προστάττουσι θύειν, ἱστάναι δὲ χοροὺς καὶ στεφανηφορεῖν κατὰ τὰ πάτρια πρὸς ἁπάσαις ἀεὶ [8]) ταῖς ἀφικνουμέναις [9]) μαν-

---

Τί οὖν ἐκ τούτων ὑμεῖς ἐνθυμεῖσθε [1]).] Ἐπειδὴ ἀνέγνω μαντείας, ἐν αἷς ἐγέγραπτο, ὅτι ἔδει θύειν Ἡρακλεῖ Ἀλεξικάκῳ καὶ κνισσᾶν τὰς ἀγυιάς, ἐδόκει δὲ ταῦτα ἀπηρτῆσθαι πρὸς τὴν παροῦσαν κρίσιν, διὰ τοῦτο εἶπεν, ὅτι μὴ πᾶσι τοῖς γεγραμμένοις ἐν ταῖς μαντείαις προσέχετε, ἀλλ' ἐνθυμεῖσθε [2]) τὸ προσγεγραμμένον ἐν πάσαις, τουτέστι, τὸ χοροὺς ἱστάναι καὶ στεφανηφορεῖν· ταῦτα γάρ ἐστιν οἰκεῖα πρὸς τὴν παροῦσαν ἐξέτασιν.

Τοῖς [3]) ἐφ' ἑκάστης μαντείας προφαινομένοις.] Τοῖς γὰρ ἄρτι φοιτήσασι καὶ ἐπιφανεῖσι θεοῖς εἰ δεῖ θύειν ἐμαντεύοντο, καὶ μετὰ τὸ δηλοῦν εἰ [4]) δεῖ θύειν ἢ μή, προσετίθεσαν πάντωςτὸ ἱστάναι χορούς.

Προφαινομένοις. [5])] Ἀπὸ τοῦ μαντείου δηλονότι.

1) ἐνθυμεῖσθαι Lut. 2) ἐνθυμεῖσθαι Lut. 3) In vulg. extant ad §. 51. ante ἀνῃρημένον. 4) Ita W, et Lut. ἢ δεῖ vulg. 5) Hoc et quod sequitur schol. in sola extat Lut.

---

1) θῦσαι om. r et pr. Y. 2) ἐλεεῖν θύειν vulg. FΠYrstv; eadem est in Bav., sed in mg. γρ. ἐλινύειν, unde receperunt Reisk. Bu. Be., ἐλεεινύειν Σ. 3) εἰσὶ μὲν ὦ kr Aug. 4) καὶ αὗται om. Ω. 5) Ita Aug. Reisk. Bu. Be., ἐν τῇ Ftv vulg. 6) κἀγαθαί] Ita Bu. Dind. ΠΣY, καλαὶ κἀγαθαὶ vulg., καὶ καλαὶ κἀγαθαὶ k, πολλαὶ κἀγαθαὶ t, καὶ ἀγαθαὶ καὶ πολλαὶ r. Καλαὶ uncis circumdedit Be. 7) θεοὶ coni. Vater., probat Bu. 8) Ita Aug. Reisk. Bu. Be., ἀεὶ om. vulg. et ΣYstv. 9) ἀφικουμέναις Hervag. Wolf., ἀφικομέναις Felic. Paul.

55 τείαις προσαναιροῦσιν [1]) ὑμῖν. οἱ τοίνυν χοροὶ πάντες [2]) b.
οἱ γιγνόμενοι καὶ οἱ χορηγοὶ δῆλον [3]) ὅτι τὰς μὲν ἡμέρας
ἐκείνας, ἃς συνερχόμεθα ἐπὶ [4]) τὸν ἀγῶνα κατὰ τὰς μαν-
τείας ταύτας, ὑπὲρ [5]) ὑμῶν [6]) στεφανούμεθα [7]), ὁμοίως
ὅ τε μέλλων νικᾷν καὶ ὁ πάντων [8]) ὕστατος γενήσεσθαι [9])·
479 τὴν δὲ τῶν ἐπινικίων ὑπὲρ "αὑτοῦ τότ' ἤδη στεφανοῦται ὁ
Bk. νικῶν. τὸν οὖν εἴς τινα τούτων τῶν χορευτῶν [10]) ἢ τῶν
χορηγῶν ὑβρίζοντα ἐπ' ἔχθρᾳ, καὶ ταῦτ' ἐν αὐτῷ τῷ [11])
ἀγῶνι καὶ ἐν τῷ τοῦ θεοῦ ἱερῷ [12]), τοῦτον ἄλλο τι πλὴν [13])
ἀσεβεῖν φήσομεν;

---

Ὑπὲρ αὐτῶν.] Τῶν θεῶν δηλονότι ἁπάντων.

Την δὲ τῶν ἐπινικίων.] Ἀντιπίπτον ἔλυσεν, ὅτι οὐ διὰ τὰς μαντείας ἀλλὰ διὰ τὴν νίκην τὴν ἰδίαν περιέκειτο τὸν στέφανον. ὁ δέ φησιν, ὅτι ὁ μὲν νικήσας ὑπὲρ ἑαυτοῦ [1]) στεφανοῦται, ὁ δὲ πρὸ τοῦ ἀγῶνος ἐστεφανωμένος κατὰ τὰς μαντείας ἐστεφάνωται.

1) ὑπὲρ ἑαυτοῦ] Ita W., περὶ αὐτοὺς vulg., δι' αὐτὸν mg. Lut.

---

1) προσανεροῦσιν Aug. 2) πάντες οἱ om. Paul., πάνταις Herv. 3) δηλοῦσιν mg. Lut., δῆλοί εἰσιν — στεφανούμενοι coni. Wolf., εἰ τοίνυν ἱεροὶ χοροὶ πάντες οἱ γιγνόμενοι, καὶ οἱ χορηγοὶ δηλονότι. τὰς μὲν οὖν ἡμέρας coni. Reisk. 4) ἐπὶ] εἰς Ωs Paul. 5) ὑπὲρ] Ita FΠΣΥΩkrstv (Par. 2. 5.) Aug. Bav. Barocc. Ven. Vind., mg. Less. schol., Ald. Felic. Paul. Obsop. Bu. Be., περὶ Hervag. Wolf. Lut. Reisk. 6) ὑμῶν] Ita Bav. Aug. Barocc. FΠkr Bu. Be., ὑμῶν αὐτῶν ΥΩstv mg. Lessing. Felic. Obsop. Paul., ἡμῶν αὐτῶν Vind., αὐτῶν Σ schol. Ald. Herv. probat Schaef., αὐτῶν vulg. 7) Ita Lut. Reisk. Be., ἐστεφανώμεθα Aug. kr Bu. Dind. probatum Schaefero, ἐστεφανούμεθα Bav. FΠΣΥΩstv Ald. Herv. Felic. Paul. Wolf. 8) ὁ πάντων] ὁπόταν pr. Ω. 9) γενήσεσθαι Herv. 10) χορευόντων k (Par. 5.) 11) τῷ om. Bav. 12) ιανῶ Paul. 13) πλὴν] ἢ r.

56 Καὶ μὴν ἴστε γε τοῦθ᾽ 1), ὅτι βουλόμενοι μηδὲν 2) c.
ἀγωνίζεσθαι 3) ξένον, οὐκ ἐδώκατε ἁπλῶς τῶν χορηγῶν οὐδενὶ προσκαλέσαντι 4) τοὺς χορευτὰς σκοπεῖν 5), ἀλλ᾽ ἐὰν μὲν καλέσῃ, πεντήκοντα δραχμάς, ἐὰν δὲ καθίζεσθαι 6)

---

Καὶ μὴν 1) ἴστε γε τοῦτο.] Ἐπλήρωσε τὸν ἀπὸ τοῦ μείζονος τόπον, ἐγγὺς ἀσεβείας 2) ἀποδείξας τὸ ὑπὸ τοῦ Μειδίου πραχθέν, καὶ ἐπάγει τὸν 3) ἀπὸ τοῦ ἐλάττονος, ἔκ τε τῶν ξένων καὶ τῶν ἀτίμων αὐτὸν 4) ἐργαζόμενος. ὅπου γὰρ οὔτε ξένον οὔτε ἄτιμον ἔξεστιν ὑβρίζειν ἐν τῇ ἑορτῇ, πῶς οὐ πολλῷ πλέον φείδεσθαι προσήκει τῶν ἐπιτίμων καὶ ἀστῶν 5); τέθεικε δὲ τὸ κατὰ τοὺς ξένους παράδειγμα, ὅπερ ἐστὶν ἀντὶ νομικοῦ 6). δύο γάρ εἰσι νόμοι, περὶ οὓς στρέφεται, μὴ 7) ἐξεῖναι ξένον ἀγωνίζεσθαι, καὶ ἕτερος νόμος, ἂν 8) χορηγὸς ἀγωνιζόμενον 9) τὸν ξένον καλέσῃ πρὸς ἄρχοντα ἐπὶ τῷ δοκιμάσαντα εἰ ξένος ἐστὶν ἐκβαλεῖν, διδόναι πεντήκοντα 10) δραχμάς, ἐὰν δὲ κελεύσῃ αὐτὸν ἀπελθόντα εἰς τὸ πλῆθος καθέζεσθαι ὡς ξένον, χιλίας διδόναι. (Δεύτερον ἀπὸ τοῦ ἐλάττονος κατασκευάζει τὴν κατὰ Μειδίου. B.)

Οὐκ ἐδώκατε ἁπλῶς.] Ἔξεστι μὲν γάρ, ἀλλ᾽ οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν, οὐδὲ πανταχῇ 11), οὐδὲ ἐν τῷ θεάτρῳ, ἀλλ᾽ ἔξω 12) καθέζεσθαι, οἷον 13) βιαίως ἀποσπάσειν 14) μὲν ἀπὸ τοῦ χοροῦ, θεωρεῖν δὲ καὶ μετὰ τῶν ἄλλων καθέζεσθαι ἀναγκάσει.

Ἀλλ᾽ 15) ἐὰν μὲν καλέσῃ.] Πρόσκλησις ἡ εἰς τὸ δικαστήριον.

1) Ita Lut., μὴ vulg. 2) Ita W. de coni. et Lut., ἀσέβειαν vulg. 3) Ita Lut., τὴν vulg. 4) Ita Lut., αὐτὴν vulg. 5) Ita W. de coni., αὐτῶν vulg. 6) An ἀντινόμικον? 7) μὴ] εἰς, μὴ Lut. 8) ἂν τις χορ. Lut. 9) Ita Lut., ἀγωνιζόμενος vulg. 10) πεντ. addidit W., διδ. δραχμὰς ν Lut. 11) οὐδὲ πανταχῇ om. Lut. 12) ἔξω] ἔξω κελεύσει Lut. 13) οἷον] οἷον οὐ Lut., recte. 14) ἀποσπάσει W. et Lut. 15) Hoc schol. in sola Lut. extat.

---

1) τοῦτο vulg. ante Reisk. 2) μηδένα vulg. ante Be. 3) ἀγωνίσασθαι s. 4) προκαλέσαντι t et schol. 5) κόπτειν mg. Lut. 6) γρ. καθέζεσθαι mg. Lut., καθῆζεσθαι Paul.

κελεύσῃ, χιλίας ἀποτίνειν ἐτάξατε [1]). τίνος ἕνεκα [2]); ὅπως [3]) μὴ [4]) τὸν ἐστεφανωμένον καὶ λειτουργοῦντα τῷ θεῷ ταύτην τὴν ἡμέραν καλῇ μηδ' ἐπηρεάζῃ μηδ' ὑβρίζῃ μηδεὶς
57 ἐξεπίτηδες. εἶτα τὸν μὲν χορευτὴν οὐδ' ὁ [5]) προςκαλέσας [6]) κατὰ τὸν νόμον ἀζήμιος ἔσται, τὸν δὲ χορηγὸν [7]) οὐδ' ὁ συγκόψας παρὰ πάντας τοὺς νόμους οὕτω φανερῶς οὐ [8]) δώσει δίκην; ἀλλὰ μὴν οὐδέν ἐστ' ὄφελος καλῶς καὶ φιλανθρώπως τοὺς νόμους ὑπὲρ τῶν [9]) πολλῶν κεῖσθαι, εἰ τοῖς ἀπειθοῦσι καὶ βιαζομένοις αὐτοὺς ἡ παρ' ὑμῶν ὀργὴ τῶν ἀεὶ κυρίων μὴ γενήσεται. 533 R.

---

Ὅπως μὴ τὸν ἐστεφανωμένον.] Τὴν χρείαν τοῦ παραδείγματος ἔδειξεν· καθόλου γὰρ εἰπὼν τὸ „ἐστεφανωμένον" καὶ το καθ' ἑαυτὸν συνήνεγκεν.

(Εἶτα τὸν μὲν χορευτήν.] Κατὰ τὸν νόμον τὸν εἴργοντα ξένον ἀγωνίζεσθαι. B.)

Οὐδ' ὁ προκαλέσας [1]) κατα τὸν νόμον.] Καὶ μὴν ὁ νόμος προκαλεῖν [2]) ἴσως ἐκώλυσε· λέγει οὖν τὸν ἕτερον νόμον, τὸν κελεύοντα ξένον μὴ ἀγωνίζεσθαι. κακούργως δὲ εἶπεν. οὐ γὰρ ἀπείρητο πανταχῇ, ἀλλ' εἰςελθόντα ἅπαξ εἰς τὸ θέατρον οὐκ ἔτι ἐχρῆν προςκαλέσασθαι, ἔξω δὲ ἐξῆν. παρὰ τὸν τόπον οὖν καὶ τὸν καιρὸν ὁ σοφισμὸς ἐπάγεται. (Ὁ προκαλέσας [sic]. πρόκλησις τὸ προκαλεῖσθαι εἰς δικαστήριον· ἀντιπροκλήσεις δὲ ἀντεγκλήματα, ἀντιλογίας. B.)

Τὸν δὲ χορηγόν.] Ἀνταπέδωκε τῷ παραδείγματι ἀκόλουθον αὔξησιν ταῖς προςθήκαις, ὅτι οἱ μὲν νόμοι καὶ δοκιμάζεσθαι μόνον τὸν ξένον οὕτως ἐκώλυσαν, οὗτος δὲ οὐ τὸν ξένον χορευτὴν ἀλλὰ τὸν χορηγὸν συνέκοψε φανερῶς, παρόντων καὶ ξένων καὶ πολιτῶν.

Τῶν ἀεὶ κυρίων.] Τῶν λαχόντων δικάζειν. αὐτοὶ [3]) γάρ εἰσι τοῦ τιμωρήσασθαι κύριοι.

1) πρόςκαλέσας Lut. 2) προςκαλεῖν Lut., recte. 3) Malim οὗτοι.

---

1) ἐξετάσατε Ω. 2) εἵνεκα Aug. kr. 3) ὅπως] ὅτι t. 4) μὴ om. Aug. 5) οὐδ' ὁ χορηγὸς προςκαλέσας coni. Reisk. 6) προκαλέσας F. 7) Ita Be. Par. 1., χορηγὸν αὐτὸν οὐδ' vulg. ante Be. et Fkrtv. 8) οὐ om. Be. cum Σ. 9) τῶν om. Hervag. Paul.

58 Φέρε δὴ πρὸς θεῶν κἀκεῖνο σκέψασθε. παραιτήσο- 17 Bu.
μαι [1]) δ' ὑμᾶς μηδὲν ἀχθεσθῆναί μοι, ἐὰν ἐπὶ συμφο-
ραῖς [2]) τινων γεγονότων ὀνομαστὶ [3]) μνησθῶ· οὐ [4]) γὰρ
ὀνειδίσαι [5]) μὰ τοὺς θεοὺς οὐδενὶ δυσχερὲς οὐδὲν βουλόμε-
νος τοῦτο ποιήσω, ἀλλὰ δεῖξαι τὸ βιάζεσθαι καὶ ὑβρί-
ζειν [6]) καὶ τὰ [7]) τοιαῦτα ποιεῖν, ὡς ἅπαντες ὑμεῖς οἱ ἄλ-
λοι φεύγετε. Σαννίων [8]) ἐστι δήπου τις ὁ τοὺς τραγικοὺς b.
χοροὺς [9]) διδάσκων [10])· οὗτος ἀστρατείας ἑάλω καὶ κέχρη-

---

*Φέρε δὴ πρὸς θεῶν.*] Ἕτερον παράδειγμα ἀπὸ τοῦ ἐλάττονος, τὸ [1]) κατὰ τοὺς ἀτίμους, πολλῷ ἔλαττον ὂν τοῦ [2]) κατὰ τοὺς ξένους.

*Παραιτήσομαι δ' ὑμᾶς.*] Ἐπειδὴ μέλλει καταλέγειν ἀτίμους γεγονότας πολίτας ἀπαιτούσης τῆς χρείας, προθεραπεύει τὸ ἄτοπον, ἵνα μὴ δοκῇ ἐπεμβαίνειν.

(*Παραιτήσομαι.*] Ἀντὶ τοῦ ἱκετεύσω. B.)

*Οὐ γὰρ ὀνειδίσαι μὰ τοὺς θεούς.*] Ἐπειδὴ ἀναγκαῖον ἦν μνημονεῦσαι τῶν πταισμάτων, διὰ τοῦτο ὅρκῳ προέλαβε τοὺς ἀκούοντας, ἵνα μὴ ὀνειδίζειν αὐτὸν ὑποπτεύσωσιν. [3])

*Σαννίων ἐστὶ δήπου τις ὁ τοὺς τραγικοὺς χοροὺς διδάσκων.*] Δῆλον ὅτι μετὰ τοῦ ῥυθμοῦ καὶ προσήκοντος μέλους ᾄδειν διδάσκων. τραγικοὺς δέ, ἐπειδὴ ἴσως καὶ κωμικοί εἰσιν.

*Οὗτος ἀστρατείας ἑάλω.*] Ἄτιμος γέγονεν, ἐλεγχθεὶς ὡς δέον [4]) στρατεύεσθαι μὴ στρατευόμενος.

*Καὶ κέχρηται [5]) συμφορᾷ.*] Ἐπιεικῶς [6]) ἐπὶ τὴν τύχην ἄγει τὸ κατηγόρημα, τὸν τρόπον ἐλευθερῶν.

1) τῷ Bav. 2) ὂν τοῦ] τὸ Bav. 3) ὑποτεεύσωσιν Hervag. 4) δέων Ald. Hervag. 5) κέκριται Ald. Hervag. 6) ἐπιοικῶς Hervag.

---

1) παραιτήσομαι — ἀχθεσθῆναι μοι Bekk. Anecd. 163. 14. 2) συμφορᾶς coni. Schaef. 3) Ita Reisk. de coni., libri omnes ὀνόματι. 4) οὐδὲ r. 5) ὀνειδίσω t. 6) καὶ τὸ ὑβρίζειν FΣ kr Aug. Reisk. 7) τὰ] τὸ τὰ kr Aug. Reisk. 8) Σαννίων — διδάσκων Hermog. de id. I. 2, p. 253. 9) χοροὺς om. Felic. Paul. 10) ἐκδιδάσκων rc. k (Par. 5.), recepit in ordinem Bu.

59 ται συμφορᾷ. τοῦτον μετὰ τὴν ἀτυχίαν ταύτην ἐμισθώσατό
τις φιλονεικῶν[1] χορηγὸς τραγῳδῶν, οἶμαι Θεοςδοτίδης.[2]
τὸ μὲν οὖν πρῶτον ἠγανάκτουν οἱ ἀντιχορηγοὶ[3] καὶ κω- c.
λύσειν ἔφασαν· ὡς δ' ἐπληρώθη τὸ θέατρον, καὶ τὸν ὄχλον
480 Bk. συνειλεγμένον εἶδον ἐπὶ τὸν ἀγῶνα, ὤκνησαν, εἴασαν,
οὐδεὶς ἥψατο, ἀλλὰ τοσοῦτον τῆς εὐσεβείας[4] ἐν ἑκά-
στῳ[5] τις ἂν ὑμῶν[6] ἴδοι συγκεχωρηκὸς[7], ὥςτε πάντα
τὸν μετὰ ταῦτα χρόνον διδάσκει τοὺς χορούς, καὶ οὐδὲ
τῶν ἰδίων ἐχθρῶν οὐδεὶς κωλύει· τοσοῦτ'[8] ἀπέχει τῶν

---

*Φιλονεικῶν χορηγός.*] Οἷον φιλόνεικος εἰς[1] τὸ νικᾶν, καὶ ἡττᾶσθαι μὴ ἀνεχόμενος. νέμει γὰρ καὶ τῷ μισθωσαμένῳ συγγνώμην.

*Ηγανάκτουν οἱ ἀντιχορηγοί.*] Λέγοντες, „οἱ νόμοι παραβαίνονται, λέλυται τῆς πολιτείας ὁ θεσμός, οἱ ἄτιμοι λοιπὸν πολιτεύονται."

*Ὤκνησαν,[2] εἴασαν, οὐδεὶς ἥψατο.*] Πολλὰ ὀνόματα κατὰ τοῦ αὐτοῦ, ὥςτε δηλῶσαι τὴν ἡμερότητα.

*Τίς ἂν ὑμῶν ἴδοι συγκεχωρηκός.*] Οὕτως ἕκαστος αἰδοῖ τῆς ἑορτῆς πολὺ τὸ συγχωροῦν εἶχε κατὰ τὴν γνώμην.

*Τοσοῦτον ἀπέχει τοῦ χορηγόν τινος[3] ἅψασθαι.*] Οὕτως ἡ γραφή. καὶ γὰρ ἤρτηται τοῦ ἄνω „οὐδεὶς ἐχθρῶν[4] ἐκώλυσε", πόσῳ γε μὴν[5] χορηγόν[6] τις;

1) εἰς] Ita W., εἰ vulg., ἢ mg. Lut., ὁ τὸ νικᾶσθαι coni. W.; fortasse scripsit οἷον φιλόνικος ἢ τὸ νικᾶσθαι κτλ. 2) ὄκνησαν Ald. Herv. 3) Ita Ald. Herv., τοῦ χορηγῶν τινος Wolf., idem vero τὸ χορηγῶν τινὰς coni., τῶν χορηγῶν τινὰς Lut. 4) ἐχθρῶν] Ita Lut., ἐχθρὸν vulg. 5) An γε μᾶλλον? 6) χορηγῶν Lut.

---

1) φιλονικων Σ. 2) θεο ζοτίδης Σ, θεοσδοτίτης t. 3) ἀντιχόρηγοι kr. 4) εὐσεβείας] εὐεργεσίας Ω, τῆς εὐσεβ. om. in aliquot odd. Pariss., τῇ εὐσεβείᾳ coni. Markl. et in ordinem recepit Spald.; idem confirmare videtur schol. 5) „Pro ἐν ἑκάστῳ legit quidam ἕνεκα" Tayl. 6) ὑμῶν om. s. 7) τὸ συγκεχωρηκός kr Barocc. Ital. Aug. Bav. Markl. Reisk. Bu. probatque Schaef., συγκεχωρηκὼς Par. 5. 8) τοσοῦτον γρ. Σ.

60 χορηγῶν [1]) ἅψασθαι. ἄλλος ἐστὶν Ἀριστείδης Οἰνηΐδος d. φυλῆς, ἠτυχηκώς τι καὶ οὗτος τοιοῦτον, ὃς νῦν μὲν καὶ γέρων ἐστὶν ἤδη καὶ ἴσως ἥττων [2]) χορευτής, ἦν δέ ποθ' ἡγεμὼν τῆς φυλῆς κορυφαῖος [3]). ἴστε δὲ δήπου [4]) τοῦθ', ὅτι [5]) τὸν ἡγεμόνα ἂν [6]) ἀφέλῃ [7]) τις, οἴχεται ὁ λοιπὸς χορός. ἀλλ' ὅμως πολλῶν χορηγῶν φιλονεικησάντων οὐδεὶς e.

---

Ἄλλος ἐστὶν Ἀριστείδης.] Καὶ τοῦτο ἀπὸ τοῦ ἐλάττονος. ἔνθα γὰρ ἀποροῦμεν [1]) πλειόνων παραδειγμάτων, οὐ παραιτητέον, ἐκ τῶν αὐτῶν τόπων πολλάκις λαμβάνειν.

Ἠτυχηκώς τι καὶ οὗτος τοιοῦτον.] Ἀστρατείας ἑαλωκώς. πάλιν δὲ ἐνέμεινε τῷ σκοπῷ, „ἠτυχηκὼς“ [2]) εἰπὼν οὐκ „ἠδικηκώς“.

Καὶ ἥττων [3]) χορευτής.] Δυσκίνητος γὰρ διὰ τὸ γῆρας ἐγένετο.

Ἦν δέ ποθ' [4]) ἡγεμὼν τῆς φυλῆς κορυφαῖος [5])] Τὸν χοροδιδάσκαλον λέγει. οἱ γὰρ [6]) χορευταὶ ἐξ ἁπάσης ἐπελέγοντο τῆς φυλῆς, τῶν δὲ χορευτῶν μόνων ἦν χοροδιδάσκαλος. τινὲς δὲ λέγουσιν, ὅτι ὁ μὲν ἄλλος χορὸς διάφορος ὢν ἐξ ἄλλων φυλῶν συνελέγετο, ὁ μέντοι ἡγεμὼν ὁ κορυφαῖος καὶ μείζων ἀπὸ τῆς οἰκείας ἦν φυλῆς.

Οὐδεὶς πώποτ' εἶδεν [7])] Εἰ γὰρ ἦν ἀπελα-

1) εὐποροῦμεν Wolf. de coni. 2) ἠτηχηκὼς Herv. 3) Ita Ald. Herv. W., καὶ ἴσως ἥττων χ. Lut. 4) Ita Lut., ποτ' vulg. 5) κορυφ. addit Lut. 6) οἱ γὰρ — χοροδιδ. haec corrupta videntur neque in promptu est medicina. 7) πώποτε τοῦτ' εἶδεν Lut.

---

1) Ita Be, ex Σ, τῶν χορηγῶν τινος ἅψασθαι vulg. ante οὗ Reisk., τῶν χορηγῶν τινος ἅψασθαι Bav. F, τοῦ χ. τ. α. Bu. Schol, Vind. ΠΩk et corr. v, τοῦ χορηγόν τ. ἅ Aug. rs, τῶν χορηγῶν τινὸς ἅψ. t, τοῦ τῶν χορηγῶν τινὸς ἅψ. Y, γρ. τοῦ τὸν χορηγόν τινος ἅπτεσθαι Σ, τῶν χορηγῶν τις ἅψασθαι Reisk. de coni. 2) ἧττον coni. Spald. 3) κορυφαῖος Reisk. in ind. arbitratus est posse pro scholio haberi ἡγεμὼν vocabuli. 4) Ita ΠΥΩs, ut Markl. coni. probavitque Schaef., ἴστε δήπου vulg. 5) ὅτι om. Herv. 6) ἐὰν k. 7) ἀφέληται Aug. kr (Par. 5. 7.).

πώποτε τοῦτ' εἶδε [1]) τὸ πλεονέκτημα, οὐδ' ἐτόλμησε τοῦτον ἐξαγαγεῖν οὐδὲ κωλῦσαι· διὰ γὰρ τὸ δεῖν αὐτὸν ἐπιλαβόμενον τῇ χειρὶ τοῦτο ποιῆσαι καὶ μὴ προσκαλέσασθαι [2]) 534
πρὸς τὸν ἄρχοντα ἐξεῖναι, ὥςπερ ἂν εἰ ξένον τις ἐξαγαγεῖν R.
ἠβούλετο, ἅπας τις ὤκνει τῆς ἀσελγείας ταύτης αὐτόχειρ
61 ὀφθῆναι γιγνόμενος [3]). οὐκ οὖν [4]) δεινὸν ὦ ἄνδρες δικα- 18
σταὶ [5]) καὶ σχέτλιον, τῶν μὲν νικῶν ἂν ταυτὶ [6]) παρὰ Bu.

---

θεὶς [1]) ὁ διδάσκαλος τοῦ χοροῦ, πρόδηλον, ὅτι πλεονέκτημα ἐγίγνετο τοῦ ἀντιχορηγοῦ· διελύετο γὰρ ὁ τοῦ φιλονεικοῦντος χορός.

*Διὰ γὰρ τὸ δεῖν αὐτόν.*] Ἐκέλευε γὰρ ὁ νόμος, τοὺς ξένους προςκαλεῖν πρὸς τὸν ἄρχοντα, τοὺς δὲ ἀτίμους ἐπιλαμβάνεσθαι τῆς χειρὸς καὶ [2]) ἐξάγειν ἐκ τῆς θυμέλης.

*Ὥςπερ ἂν εἰ ξένον τις.*] Οὐ γὰρ ἐξῆν ἄλλως τὸν ξένον ἐξάγειν ἀλλὰ προςκαλεσάμενον [3]) πρὸς τὸν ἄρχοντα.

*Αὐτόχειρ ὀφθῆναι.*] Ὅρα, ὅπως τὸ τῶν ἀνδροφόνων ὄνομα ἔθηκεν ἐπὶ τῶν ὑβριστῶν, ἐγγὺς ποιῶν τὸ πλημμέλημα παρὰ ταῦτα [4]), εἰ ἐκβάλλει τοῦ χοροῦ τὸν διδάσκαλον.

1) ἀμπελαθεὶς Ald. Herv. 2) καὶ om. Ald. Herv. 3) Ita W. et Lut. pro προςκαλεσάμενος. 4) παρὰ ταῦτα asterisco notavit Wolf., tanquam suspecta, minus recte; significant: „his“; cf. Demosth. 110, 15; 354, 22 c. n.; 1002, 1; 1087, 2; 1413, 26. Athen. 1. 26, d. Arist. Av. 846. Toup. ad Longin. c. 42. Repetendum est autem τῷ ἀνδροφόνῳ.

---

1) εἶχε coni. Lamb. 2) Ita Ald. et vulg. post Wolf., προκαλέσασθαι Herv. Felic. Paul. Lut. 3) Ita Bu. Be., γινόμενος Aug., γενόμενος Y et vulg. ante Bu. 4) Ita Reisk., οὐκοῦν Bu., οὐκ-οὖν Be. Di. 5) ὦ ἀθηναῖοι r. 6) ἂν ταυτὶ] Ita Be. cum Par. 2. et suorum plurimis et optimis, ἂν ταυτὸν vel ἂν ταὐτὸν vulg., ταὐτὸν Wolfius abesse mavult, Reiskius uncis circumscripsit, latere in eo ratus vel τὸν αὐτῶν χορὸν, vel, quae etiam Iurini sententia est, ἑαυτοὺς, Bu. cum Barocc. Bav. Aug. Fkr eiecit, id quod factum probat Schaef., τουτὶ s.

τοῦτ' 1) οἰομένων χορηγῶν, τῶν ἀνηλωκότων 2) πολλάκις
πάντα τὰ ὄντα εἰς τὰς λειτουργίας, μηδένα τολμῆσαι πώ-
ποτε μηδ' ὧν οἱ νόμοι διδόασιν ἅψασθαι, ἀλλ' οὕτως εὐ-
λαβῶς, οὕτως εὐσεβῶς, οὕτω μετρίως διακεῖσθαι, ὥςτε
ἀναλίσκοντας, ἀγωνιῶντας, ὅμως ἀπέχεσθαι 3) καὶ προ-
ορᾶσθαι τὰς ὑμετέρας 4) βουλήσεις 5) καὶ τὴν περὶ τὴν
ἑορτὴν σπουδήν· Μειδίαν δὲ ἰδιώτην ὄντα, μηδὲν ἀνηλω- b.
κότα 6), ὅτι τῳ 7) προςέκρουσέ καὶ ἐχθρὸς ὑπῆρχε, τοῦ-
τον ἀναλίσκοντα, χορηγοῦντα, ἐπίτιμον 8) ὄντα, προπη-

---

Τῶν ἀνηλωκότων πολλάκις.] Δοκεῖ μὲν καθόλου λέγειν περὶ τῶν χορηγῶν, μάλιστα δὲ αὐτὸ 1) σημαίνει, ὅτι πάντα τὰ ὄντα εἰς τὴν χορηγίαν ἀνάλωσεν.

Καὶ προορᾶσθαι τὰς ὑμετέρας βουλήσεις.] Ὅτι κἂν ᾖ νόμιμον, οὐ ποιεῖτε δι' εὐσέβειαν. ἐβούλετο γὰρ ὁ δῆμος, μηδένα γίνεσθαι θόρυβον κατὰ τὴν ἑορτήν· διὰ τοῦτο γὰρ κἂν παρανόμως τις ἠγωνίζετο, οὐ συνεχώρουν αὐτὸν ἐξάγεσθαι, ἀλλὰ τότε μὲν ἀγωνίζεσθαι, μετὰ ταῦτα δὲ κρίνεσθαι προςέταττεν. 2)

(Ἰδιώτην.] Ἀντὶ τοῦ πολίτην. ἰδιώτας λέγει Ἀριστοφάνης 3) τοὺς ἰδίους „περὶ τοὺς ξένους καὶ τοὺς ἰδιώτας“. κατὰ παραγωγὴν ἴδιος, ἰδιώτης· λέγεται δὲ καὶ ὁ πρὸς γένος ἴδιος. B.)

(Ἐπίτιμον. 4)] Τὸν τετιμημένον, ἢ τὸν πλούσιον, ἢ τὸν μὴ ἄτιμον. B.)

1) αὐτὸ ferri potest, malim vero ἑαυτόν. 2) Malim προςέταττον. 3) Ran. 460. Hausta haec ex Suid. s. v. ἰδιῶται. In fine malim scribi: ἰδιώτης. ἰδιώτης δὲ λέγεται καί. 4) Haec quoque ex Suid. hausta.

---

1) ταῦτ' (a) Aug. kr, probat Schaef., minus recte illum locum explicans. 2) ἀνηλωκότων F. 3) ἀπέχθεσθαι Bav. F. 4) ἡμετέρας Ald. Herv. 5) βουλήσεις Y, βοήσεις (a) Π. 6) ἀνηλωκότα F. 7) τῳ] Ita Ald. prior et vulg. post Reisk., τῷ Ald. posterior et vulg. ante Reisk.; idem vero Reisk. maluit εἴ τῳ vel ὅτῳ pro ὅτι τῳ, et ὅτῳ placuit etiam Schaefero. 8) ἐπιτίμιον Ω.

λακίζειν καὶ τύπτειν, καὶ μήτε τῆς [1]) ἑορτῆς μήτε τῶν νόμων μήτε τί ὑμεῖς ἐρεῖτε μήτε τοῦ θεοῦ φροντίζειν [2]);

481 Bk. 62 "Πολλῶν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι γεγενημένων c. ἐχθρῶν ἀλλήλοις οὐ μόνον ἐξ ἰδίων ἀλλὰ καὶ ἐκ κοινῶν πραγμάτων οὐδεὶς πώποτε [3]) εἰς τοσοῦτ' [4]) ἀναιδείας ἀφι-

---

Πολλῶν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι.] Πληρώσας καὶ τὸν ἀπὸ τοῦ ἐλάττονος τόπον, μετῆλθεν ἐπὶ τὸν τοῦ ἐναντίου. οὗτος δέ ἐστι τοιοῦτος. Ἰφικράτης καὶ Χαβρίας, ἐχθροὶ γινόμενοί τισιν, ὁ μὲν Διοκλεῖ, ὁ δὲ Φιλοστράτῳ, τοιοῦτον οὐδὲν ἐποίησαν, οὐκ ἐσθῆτας ἠφάνισαν, οὐ στεφάνους διέφθειραν, οὐκ ἄλλο [1]) οὐδέν, Μειδίας δὲ τἀναντία τούτων ἐποίησεν, ὥςτε τἀναντία ἐκείνοις πράξει. [2]) εἰ τοίνυν ἐκεῖνοι θαυμαστοὶ τῆς ἐπιεικείας, μισητέος ἄρα τῆς θρασύτητος οὗτος. ἰστέον δέ, ὅτι τὸν ἀπὸ τοῦ μείζονος τόπον ἔθηκε πρῶτον, ἐπειδὴ νεωστὶ ἐπέπαυτο δεικνύς, οὐκ ἄξιον εἶναι συγγνώμης τὸν Μειδίαν. καὶ ἀναγκαῖον ἦν τῷ μείζονι χρήσασθαι πρὸς τὸ μέλλον κινῆσαι τοὺς δικαστὰς [3]) εἰς ὀργήν. δεύτερον δὲ τὸν ἀπὸ τοῦ ἐλάττονος· ἕπονται γὰρ ἀλλήλοις οἱ τόποι, καὶ ὁπότερος ἂν αὐτῶν ῥηθῇ πρότερος, ἀνάγκη τὸν ἄλλον δεύτερον ἕπεσθαι. τρίτον δὲ τὸν ἀπὸ τοῦ ἐναντίου, παραλιπὼν τὸν [4]) ἀπὸ τοῦ ἴσου, διότι ὁ μὲν ἀπὸ τοῦ ἐναντίου σφοδρότητα ἐκίνει τοῖς ἀκούουσιν ὥςπερ οἱ πρότεροι, ὁ δὲ ἀπὸ τοῦ ἴσου ἠθικήν τινα ἔχων ἐπιτίμησιν ἀμβλύτερος ἦν· τοῦτο δὲ πόῤῥω σφοδρότητος. εἰκότως οὖν ἔθηκεν αὐτὸν πλησίον τῆς πηλικότητος, ἵνα τὴν ἀμβλύτητα τοῦ τόπου διὰ τῆς αὐξήσεως τῆς κατὰ πηλικότητα μᾶλλον ὀρθώσῃ, ἢ καὶ συσκιάσῃ τὸ ἠθικὸν αὐτοῦ διὰ [5]) τῶν πραγματικῶν τόπων τοῦ πρός τι καὶ τῆς πηλικότητος. (Τρίτον ἐκ τοῦ ἐναντίου. B.)

1) Ita Ald. W. et Lut., ἄλλη Herv. 2) „Secus quam illi tractabitur. Fortassis πάσχει." Wolf. Non placet coniectura. 3) τοὺς ἀκούοντας Par. 1. 4) τὸ Ald. Herv. 5) διὰ τῶν] Ita W., διά τε τῶν vulg.

---

1) μηθ' ἑορτῆς Ftr Bav. Ald. Hervag. Felic. Paul. Wolf. 2) Hic Be. στιγμῇ, non interrogandi signo distinxit. 3) πώποτ' Be. 4) τοσοῦτον Aug.

κετο, ὥςτε τοιοῦτόν [1]) τι [2]) τολμῆσαι ποιεῖν [3]). καίτοι d.
φασὶν Ἰφικράτην ποτ' [4]) ἐκεῖνον [5]) Διοκλεῖ τῷ Πιτθεῖ [6]) τὰ μάλιστα ἐλθεῖν εἰς ἔχθραν, καὶ ἔτι πρὸς τούτῳ συμβῆναι Τισίαν τὸν Ἰφικράτους ἀδελφὸν ἀντιχορηγῆσαι τῷ Διοκλεῖ. ἀλλ' ὅμως πολλοὺς μὲν [7]) ἔχων φίλους Ἰφικράτης, e
πολλὰ δὲ χρήματα κεκτημένος, φρονῶν [8]) δ' ἐφ' ἑαυτῷ

---

*Τισίαν τὸν Ἰφικράτους ἀδελφόν.*] Ἰδοὺ γὰρ καὶ τῆς τύχης παρασχούσης τὴν πρόφασιν· ἠδύνατο γὰρ διὰ τὸν ἀδελφὸν ἐπηρεάσαι· ἀλλ' οὐκ ἐτόλμησεν.

*Φρονῶν δ' ἐφ' ἑαυτῷ τηλικοῦτον.*] Πρῶτος [1]) γὰρ Ἰφικράτης [2]) τιμῶν ἔτυχεν, ὧν [3]) Ἁρμόδιος καὶ Ἀριστογείτων. Κόνωνος μὲν γὰρ πρώτου [4]) χαλκοῦς ἀνδριὰς ἔστη, ἀλλὰ τούτῳ μόνῳ [5]) ἐτιμήθη· Ἰφικράτης δὲ καὶ τὰς ἄλλας δωρεὰς τὰς ἐκείνοις ψηφισθείσας ἔλαβεν, ὥςτε καί τινα τῶν ἀφ' Ἁρμοδίου δικάσασθαι τῷ Ἰφικράτει περὶ τῶν δωρεῶν, ὡς ἀναξίως λαβόντι. καὶ ἔστι Λυσίου [6]) λόγος εἰς Ἰφικράτην ἀναφερόμενος, ἔχων τὴν

1) Ita Lut., πρῶτον vulg. 2) Ita W. et Lut. pro Ἰφικράτους. 3) Ita Lut., ὡς vulg. 4) W. coni. πρὸ τούτου, male. Cononi enim post Harmodium et Aristogitonem primo posita est aerea imago. Dem. adv. Leptin. 478, 5. 5) μόνῳ W. recte pro τῷ νόμῳ, quod est in vulg., sed errare Ulpianum ex Dem. l. c. patet. 6) Pseudoplut. Vit. Lys. p. 234. συνέγραψε δὲ (sc. Λυσίας) λόγῳ (sic enim legendum videtur pro λόγον) καὶ Ἰφικράτει τὸν μὲν πρὸς Ἁρμόδιον, τὸν δὲ προδοσίας κρίνοντι Τιμόθεον. Earum autem orationum neutram ad Lysiam pertinere, et ex temporum rationibus et ex ipsarum indole efficere conatur Dionysius de Lys. iud. p. 477 R. sqq., utramque vero eiusdem esse auctoris; idem enim spirare ingenium, eandem facultatem, neque eas ad alium se quam ad ipsum Iphicratem referre, cum militarem magis audaciam et superbiam prae se ferant quam oratorium acumen. Idem iudicium tulisse videtur Aristoteles, qui quibus locis Rhet. 2, 23. prioris orationis mentionem facit, eam ad Iphicratem ipsum refert, et paene idem tulit Aristides de paraphthegmate p. 656 sq. (384

---

1) τοιοῦτός Felic. Paul. 2) τι τοιοῦτον r. 3) ποιεῖν asterisco notatur in Ald. Herv. Wolf. 4) Ita Be., ποτὲ vulg. 5) ἐκεῖνόν ποτε r. 6) Ita Aug. Bav. (sed in hoc τ a nova manu insertum) et plerique Mss. Bekkeri Ald. Felic. Paul. Reisk. Bu. Be., πειθεῖ ΥΩs Par. 2., πιθεῖ tv vulg., tueturque Taylor.; cf. Schoemann. ad Isaeum p. 214. 388. 7) μὲν om. r Aug. 8) φρονῶν asterisco notatur in Ald. Herv. Wolf.

τηλικοῦτον, ἡλίκον εἰκὸς ἄνδρα καὶ δόξης καὶ τιμῶν [1]) τετυχηκότα ὧν ἐκεῖνος ἠξίωτο παρ' ὑμῶν, οὐκ ἐβάδιζεν [2])
63 " ἐπὶ τὰς τῶν χρυσοχόων οἰκίας νύκτωρ, οὐδὲ κατεῤῥήγνυε 535 R.

---

ἐπιγραφὴν „περὶ τῶν αὐτοῦ [1]) δωρεῶν", ἐν ᾧ σκωφθεὶς εἰς δυσγένειαν παρὰ τοῦ κατηγόρου, φησίν [2]), „ὅτι τὸ μὲν ἐμὸν γένος ἀπ' ἐμοῦ τὴν ἀρχὴν γνωρίζεσθαι [3]) λαμβάνει, τὸ δὲ σὸν μέχρι σοῦ τὴν δόξαν ἔστησεν". Ἦν γὰρ ὁ Ἰφικράτης ἐκ σκυτέων γεγονώς, ηὐδοκίμησε δὲ διὰ ταύτην τὴν πρόφασιν. [4]) στρατιώτης ὢν καὶ ναυμαχῶν ἐπήδησεν ἀπὸ τῆς αὐτοῦ [5]) νεὼς εἰς πολεμίαν τριήρη, καὶ τὸν στρατηγὸν τῶν πολεμίων ἐναγκαλισάμενος [6]) μετῆλθεν αὖθις ἔχων αὐτὸν εἰς τὴν οἰκείαν τριήρη, καὶ διὰ τοῦτο τῆς ἀριστείας ἐπαινεθεὶς στρατηγὸς ἐχειροτονήθη, καὶ παρὰ πάντας τοὺς στρατηγοὺς τοὺς τότε μείζω τὴν πόλιν ὠφέλησεν.

Οὐκ ἐβάδιζεν ἐπὶ τὰς τῶν χρυσοχόων [7]) οἰκίας.] Δύο [8]) πεποίηκεν ἐν ταὐτῷ. καὶ γὰρ κατὰ τὴν ἀναίρεσιν εἰςήγαγεν, ὅπερ οἰκεῖον τοῖς ἀπὸ τοῦ ἐναντίου ἐπιχειρήμασι, καὶ ταῦτα εἶπεν ἐκεῖνον μὴ πεποιηκέναι, ἅπερ αὐτὸς ὑπὸ Μειδίου πέπονθε. τοῦτο γὰρ ἴδιον Δημοσθένους, τὸ πολλάκις τὰ αὐτὰ λέγοντα φεύγειν τὸ πρόςκορες διὰ τῆς ἐξαλλαγῆς τῶν μεθόδων καὶ τῶν σχημάτων.

extr.). Hanc autem orationem et Ἰφικράτους πρὸς Ἁρμόδιον ἀπολογίαν περὶ τῶν δωρεῶν αὐτοῦ inscriptam — Dionysius enim propterea tantum περὶ Ἰφικράτους εἰκόνος inscribit, quod in illis muneribus statua principem quendam locum tenebat — et παρανόμων iudicio habitam fuisse arbitror; ab Harmodio, uno e posteris tyrannicidae, eum, qui de donis et honoribus in Iphicratem conferendis ad populum tulerat, male rogati Psc. accusatum, ab Iphicrate, quod suam agi caussam intelligeret, hac oratione defensum esse. Παῦλος Γερμῖνος σοφιστὴς ὁ γράψας, ὅτι γε Λυσίου ἐστὶ τὰ περὶ τῆς Ἰφικράτους δωρεᾶς βιβλία β'. Suid. Eudoc. v. Quod duos libros dicit, spectare videtur ad δευτερολογίαν; cf. Schoemann. de lit. Athen. p. 708. In Anecd. Bekk. 467. 28. Lysiae κατ' Ἰφικράτους oratio excitatur, quam inscriptionem adduci non possum ut veram putem. 1) Erat αὐτοῦ. 2) Verba ipsa Iphicratis neque ab Ulpiano, neque a Plutarcho Apophth. Imper. 118 H., neque a Pseudo-Plut. de nobil. c. 21. (14, 427 H.), neque a Stobaeo 86, 15. relata arbitror. 3) γνωρ.] τοῦ γνωρ. Lut. 4) cf. Plutarch. Apoph. l. c. 5) Erat αὐτοῦ. 6) ἀναγκαλισάμενος Ald. Herv. ἐναγκ. Ald. pr. 7) χρυαίων Ald. Herv. 8) Δύο — πέπονθε extant in Bav. ad §. 62, 6.

---

1) τιμῶν καὶ δόξης kr. 2) ἐβίαζεν Bav., οὐκ ἐβάδιζεν — ἐκώλυεν Tiber. de fig. p. 33.

τὰ παρασκευαζόμενα [1]) ἱμάτια εἰς τὴν ἑορτήν, οὐδὲ διέφθειρε διδάσκαλον, οὐδὲ [2]) χορὸν μανθάνειν ἐκώλυεν, οὐδὲ τῶν ἄλλων οὐδὲν ὧν οὗτος διεπράττετο [3]) ἐποίει, ἀλλὰ τοῖς νόμοις καὶ τῇ τῶν ἄλλων [4]) βουλήσει συγχωρῶν, ἠνείχετο καὶ νικῶντα καὶ στεφανούμενον τὸν ἐχθρὸν ὁρῶν, εἰκότως· ἐν ᾗ γὰρ αὐτὸς εὐδαίμων ᾔδει γεγονὼς [5]) πολιτείᾳ, f.
64 ταύτῃ [6]) συγχωρεῖν τὰ τοιαῦτα ἠξίου. πάλιν Φιλόστρατον g.
πάντες [7]) ἴσμεν τὸν Κολωνῆθεν [8]) Χαβρίου κατηγοροῦντα, ὅτ' ἐκρίνετο τὴν περὶ Ὠρωποῦ [9]) κρίσιν [10]) θανάτου,

---

Ἠνείχετο.] Τὴν καρτερίαν δηλοῖ, ὅτι καὶ ἀνιώμενος ὑπέφερεν.

Πάλιν Φιλόστρατον.] Δεύτερον ἀπὸ τοῦ ἐναντίου παράδειγμα. καὶ γὰρ Χαβρίας γενόμενός τισιν ἐχθρὸς οὐδὲν ὧν Μειδίας ἐποίησεν. (Δεύτερον παράδειγμα ἀπὸ τοῦ ἐναντίου. B.)

Τὴν περὶ Ὠρωποῦ κρίσιν.] Ὁ Χαβρίας ἔπειθε Θηβαίοις βοηθῆσαι Ἀθηναίους, ὅτε ἐκινδύνευον, εἶτα σωθέντες ἀπέσπασαν τὸν Ὠρωπόν, χωρίον ἐν τοῖς ὁρίοις κείμενον· ὑπωπτεύθη γοῦν [1]) ὁ στρατηγὸς ὡς συνειδὼς καὶ προδοσίας ἐκρίθη. τὸ δὲ θανάτου ἢ [2]) τὸ περὶ κοινῶς [3]), ἵνα ᾖ τὴν περὶ θανάτου, ἢ ἐλλειπῶς, ὅτε ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν, ἵν' ᾖ θανάτου πικρότερον γενόμενον· ἵνα μή τις ὑπολαβὼν λέγῃ, ὅτι ἡ πρᾳότης τοῦ γραψαμένου καταφρονεῖν παρεσκεύασεν.

1) Legendum οὖν 2) ᾖ Ald. Herv. 3) Ita W. de coni. et Lut. pro περικοινῶς; sententia haec esse videtur: quod vero ad θανάτου vocabulum, aut περὶ praepositio ad utrumque et ad Ὠρωποῦ et ad θανάτου pertinet, aut elliptice explicandum est, verba autem πικρότερον γενόμενον lemma arbitror esse, totumque locum in hunc modum immutandum: τὸ δὲ θανάτου, ἢ τὸ περὶ κοινῶς ἵνα ᾖ „τὴν περὶ θανάτου", ἢ ἐλλειπῶς θανάτου ἕνεκα, ἵν' ᾖ, ὅτ' ἐκρίνετο τὴν περὶ Ὠρωποῦ κρίσιν θανάτου ἕνεκα. πικρότατον γενόμενον] ἵνα κτλ.

---

1) παρεσκευασμένα Tiber. probat Schaef. 2) οὐ k. 3) διεπράξατο r. 4) τῶν πολλῶν βουλ. Aug. k. 5) γεγονὸς Herv. 2. 6) ταύτην Lut. et vulg. ante Wolf. 7) Ita Be., ἅπαντες vulg. FΩkrtv. 8) κολωνῆσθεν Felic. Paul. 9) Ὠρωπὸν Bav. 10) κρίσιν vox suspecta Reiskio.

καὶ πάντων τῶν κατηγόρων πικρότατον γενόμενον [1]), καὶ [2])
μετὰ ταῦτα χορηγοῦντα παισὶ Διονύσια καὶ νικῶντα [3]),
καὶ [4]) Χαβρίαν οὔτε τύπτοντα οὔτε ἀφαρπάζοντα τὸν στέ-
φανον οὐθ᾽ ὅλως προσιόντα [5]), ὅποι [6]) μὴ προσῆκεν αὐτῷ.
65 πολλοὺς δ᾽ ἂν ἔχων εἰπεῖν ἔτι καὶ διὰ πολλὰς προφάσεις b.
ἐχθροὺς γεγενημένους ἀλλήλοις, οὐδένα πώποτε οὔτε [7])
ἀκήκοα οὔτε ἑώρακα [8]), ὅςτις εἰς τοσοῦτον ἐλήλυθεν [9])
ὕβρεως ὥςτε τοιοῦτόν τι ποιεῖν. οὐδέ γε ἐκεῖνο οὐδεὶς ὑμῶν 19
οἶδ᾽ ὅτι μνημονεύει πρότερον, τῶν [10]) ἐπὶ τοῖς ἰδίοις ἢ Bu.
482 Bk. καὶ τοῖς κοινοῖς ἐχθρῶν ἀλλήλοις [11]) οὐδένα οὔτε "καλου-
μένων τῶν κριτῶν παρεστηκότα, οὐθ᾽ ὅταν ὀμνύωσιν
ἐξορκοῦντα [12]), οὐθ᾽ ὅλως ἐπ᾽ οὐδενὶ τῶν τοιούτων ἐχθρὸν
66 ἐξεταζόμενον. ταῦτα γὰρ πάντα [13]) καὶ τὰ τοιαῦτα ὦ ἄν- b.
δρες Ἀθηναῖοι φιλονεικίᾳ [14]) μὲν ὑπαχθέντα χορηγὸν ὄν-
τα [15]) ποιεῖν, ἔχει [16]) τινὰ συγγνώμην [17])· ἔχθρᾳ δ᾽, [18])
ἐλαύνοντά τινα, ἐκ προαιρέσεως, ἐφ᾽ ἅπασι, καὶ τὴν ἰδίαν

---

*Καὶ πάντων τῶν κατηγόρων πικρότατον.*] Τῶν μὲν γὰρ ἄλλων εἰς χρήματα τιμωμένων τῷ Χαβρίᾳ μόνος ἐκεῖνος θανάτου ἐτιμήσατο.

---

1) Ita Be. cum Bav. et plurimis suorum, *γεγενημένον* Aug. kr. (Par. 5.) Reisk. Bu., *γιγνόμενον* vulg. 2) *καὶ* uncis inclusit Reisk. 3) *καὶ νικῶντα* om. Aug. kr. 4) *καὶ* uncis inclusit Reisk., *καὶ — στέφανον* Bekk. Anecd. 122. 21. 5) *προσιόνθ᾽* Be.
ώ
6) *ὅπῃ* r. 7) *οὔτ᾽* Be. 8) *ἑόρακα* F, *ἑόρακα* ΥΩ. 9) *ἤλυθεν* Barocc. 10) *τῶν πρότερον* Reisk. de coni. 11) *ἀλλήλοις*] Ita Bu. Be. cum Bav. et longe plurimis libris Bekkeri, *ἀλλήλοις γενομένων* vulg. et kr. 12) *γρ. ἐξωτακουστοῦντα* mg. Lut. 13) *πάντα γὰρ ταῦτα* kr. 14) *φιλονικίᾳ* Ω. 15) Ita Aug. Ald. Reisk. Bu. Be., *ὄντα χορηγὸν* vulg. ante Reisk. 16) *ἔχειν* Aug., om. Ald. (add. Lessing.) et Hervag. 17) *συγνώμην* Felic. 18); Subdistinctionem sustulerunt Bu. Be.; *δ᾽* Be., *δὲ* vulg.

δύναμιν [1]) κρείττω τῶν νόμων οὖσαν ἐνδεικνύμενον, Ἡρά-
κλεις, βαρὺ καὶ οὐχὶ [2]) δίκαιόν ἐστιν οὐδὲ συμφέρον ὑμῖν. 536
εἰ γὰρ ἑκάστῳ τῶν χορηγούντων [3]) τοῦτο πρόδηλον γέ- R. c.
νοιτο, ὅτι „ἂν ὁ δεῖνα ἐχθρὸς ᾖ μοι [4]), Μειδίας ἢ [5])
τις ἄλλος θρασὺς [6]) οὕτω καὶ [7]) πλούσιος, πρῶτον μὲν
ἀφαιρεθήσομαι τὴν νίκην, κἂν ἄμεινον ἀγωνίσωμαί τινος,
ἔπειτ᾽ ἐφ᾽ ἅπασιν ἐλαττωθήσομαι καὶ προπηλακιζόμενος
διατελέσω“, τίς οὕτως [8]) ἀλόγιστος ἢ τίς οὕτως [9]) ἄθλιός
ἐστιν, ὅςτις ἑκὼν ἂν μίαν δραχμὴν ἐθελήσειεν [10]) ἀνα-
67 λῶσαι; οὐδεὶς δήπου. ἀλλ᾽, οἶμαι, τὸ πάντας ποιοῦν καὶ d.
φιλοτιμεῖσθαι καὶ ἀναλίσκειν ἐθέλειν ἐκεῖνό [11]) ἐστιν, ὅτι
τῶν ἴσων καὶ τῶν δικαίων ἕκαστος ἡγεῖται ἑαυτῷ μετεῖναι

---

*Ἡράκλεις.*] Ἐν τοῖς ἄγαν κακοῖς ἐπεκαλοῦντο τὸν θεὸν ὡς ἀλεξίκακον.

*Εἰ γὰρ ἑκάστῳ τῶν χορηγούντων.*] Πληρώσας καὶ τὸν ἀπὸ τοῦ ἐναντίου τόπον, ἐπιλογικῇ ἐκβάσει ἐχρήσατο, τελικὸν ἐχούσῃ κεφάλαιον, ὅτι οὐδεὶς ἐθελήσει χορηγὸς ἑκὼν καταστῆναι, μέλλων τοιαῦτα πάσχειν ὑπὸ τῶν ἐχθρῶν. σύνηθες δὲ αὐτῷ πληρώσαντι κεφάλαιον ἐπιλογίζεσθαι.

*Ὅςτις ἑκὼν ἂν μίαν δραχμήν.*] Ἐπειδὴ κατ᾽ ἀνάγκην καθίσταντο χορηγοί, διὰ τοῦτο εἶπε, „τοὺς ἐκ προαιρέσεως φιλοτιμεῖσθαι βουλομένους ἀπείρξετε“.

---

1) *δύναμιν κρείττω καὶ βίαν* vulg. et Ftv, *δύναμιν καὶ βίαν κρείττω* Aug. Barocc. *Πk*, *καὶ βίαν* om. Lind. Ital. Vind. et aliquot Pariss., quibuscum faciunt optimi et plurimi Mss. Bekkeri, quos secutus est Be. 2) *οὐ* s. 3) *χορηγῶν* Aug. kr. 4) *μοι* om. v. 5) *ἢ*] *εἰ ΠΥΩs*, *ἢ εἰ* Blum. 6) Reisk. maluit *οὕτω θρασὺς καὶ οὕτω πλούσιος*. 7) *οὕτω καὶ*] Ita Bu. Be. cum Bav. et plurimis Mss. Bekkeri, *καὶ οὕτω* vulg. et kr, idemque arbitror in Aug. esse, quamquam aliud dicit Reisk. 8) *οὗτος* — *οὗτος* Aug. 9) *οὕτως* om. *ΠΣΥΩs*. 10) *ἐθελήσῃ* Aug. kr. 11) *ἐκεῖν᾽* Be.

ἐν δημοκρατίᾳ. ἐγὼ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι τούτων οὐκ
ἔτυχον διὰ τοῦτον, ἀλλὰ χωρὶς ὢν [1]) ὑβρίσθην, καὶ τῆς
νίκης προςαπεστερήθην. καίτοι πᾶσιν ὑμῖν ἐγὼ [2]) τοῦτο [3]) 20 Bu.
δείξω σαφῶς, ὅτι μηδὲν ἀσελγὲς ἐξῆν ποιοῦντι Μειδίᾳ,
μηδ' [4]) ὑβρίζοντι μηδὲ τύπτοντι καὶ λυπεῖν ἐμὲ καὶ κατὰ
τοὺς νόμους αὐτῷ φιλοτιμεῖσθαι πρὸς ὑμᾶς, καὶ μηδὲ διᾶ-
68 ραι [5]) τὸ στόμα περὶ αὐτοῦ [6]) νῦν [7]) ἔχειν ἐμέ. ἐχρῆν γὰρ b.
αὐτὸν ὦ ἄνδρες Ἀθηναῖοι, ὅτ' ἐγὼ τῆς Πανδιονίδος χορη-
γὸς ὑπέστην ἐν τῷ δήμῳ, τότε τῆς Ἐρεχθηΐδος ἀναστάντα,
τῆς ἑαυτοῦ [8]) φυλῆς, ἀνθυποστῆναι, καὶ καταστήσανθ'
ἑαυτὸν ἐξ ἴσου [9]) καὶ τὰ ὄντα ἀναλίσκοντα ὥςπερ ἐγώ,
οὕτω με ἀφαιρεῖσθαι τὴν νίκην, ὑβρίζειν δὲ τοιαῦτα καὶ
69 τύπτειν μηδὲ [10]) τότε. νῦν [11]) δὲ τοῦτο μὲν οὐκ ἐποίησεν, c.
ἐν ᾧ τὸν δῆμον ἐτίμησεν ἄν, οὐδ' ἐνεανιεύσατο τοιοῦ-

---

(Ἐγὼ τοίνυν.] Ἐντεῦθεν ἐπὶ τὸν τοῦ ἴσου μεταβαίνειν βούλεται τόπον καὶ κέχρηται προοιμίῳ, εἴτ' οὖν προεπαγγελίᾳ. σύνηθες γὰρ καὶ τοῦτο τῷ Δημοσθένει. B.)

Καίτοι πᾶσιν ὑμῖν.] Ἐντεῦθεν εἰς τὸν ἀπὸ τοῦ ἴσου τόπον μεταβῆναι βούλεται.

(Ἐχρῆν γὰρ αὐτόν.] Τέταρτον ἀπὸ τοῦ ἴσου. B.)

---

1) χωρὶς ὢν] χορηγὸς ὢν corr. Barocc. et corr. Σ. 2) Ita cum Aug. Bav. Bu. Be., qui nullam enotavit scripturae discrepantiam; ὑμῖν τοῦτο δείξω σαφῶς ἔγωγε vulg.; malim abesse ἐγώ. 3) τοῦτο om. Bav. 4) μήτε — μήτε Aug. kr. 5) διᾶραι Reisk. 6) περὶ αὐτοῦ τὸ στόμα kr. 7) νῦν om. ΣΥ. 8) αὐτοῦ r. 9) ἐξίσου vulg. ante Herv. 2. 10) Ita Par. 1. 2. Aug. Bav. et Be., qui nullam enotavit scripturae discrepantiam; sed ex commentariis Buttmanni constat, in Ven. (F) vulg. esse a manu secunda; οὐδὲ vulg., quod non recte tuetur Bu. 11) νῦν δὲ — ἀποσχέσθαι μου Dionys. Hal. T. 6. p. 979 sq. R.

483 τον[1]) οὐδέν· ἐμοὶ[2]) δ', ὃς (εἴτε τις ὦ ἄνδρες Ἀθη-
Bk. ναῖοι[3]) βούλεται νομίσαι μανίᾳ[4])· μανία γὰρ ἴσως ἐστὶν ὑπὲρ δύναμίν τι ποιεῖν· εἴτε καὶ[5]) φιλοτιμίᾳ[6])) χορηγὸς ὑπέστην, οὕτω φανερῶς καὶ μιαρῶς ἐπηρεάζων παρηκο- 537
λουθησεν[7]) ὥστε μηδὲ τῶν ἱερῶν[8]) ἱματίων μηδὲ τοῦ R. d.
χοροῦ μηδὲ τοῦ σώματος τὼ χεῖρε τελευτῶν ἀποσχέσθαι μου.

70 Εἰ τοίνυν τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι ἄλλως πως

---

Ἐμοὶ δέ, ὃς εἴτε τις ὦ ἄνδρες Ἀθηναῖοι.] Τοῦτό ἐστιν ἠθικόν· ἐπαινεῖ γὰρ αὑτοῦ[1]) τὴν φιλοτιμίαν· καὶ ἵνα μὲν αὐξήσῃ τὸ ἀνάλωμα, μανίαν αὐτοῦ κατηγόρησεν, ἐκ τοῦ καθόλου πιστωσάμενος, ὅτι πάντα τὰ ὑπὲρ δύναμιν μανία ἐστίν. ἵνα δὲ μὴ ἀλογίας ὄντως φανῇ τὸ ἀνάλωμα, προσέθηκεν, „εἴτε τις[2]) καὶ φιλοτιμία",[3]) δεικνύς, ὅτι διὰ φιλοτιμίαν μικροῦ τὰ τῶν μαινομένων ἔπραξα.

Ὥστε μηδὲ[4]) τῶν ἱερῶν ἱματίων.] Ταύταις ταῖς προσθήκαις τὸ ἰδιωτικὸν εἰς τὸ δημόσιον μεθίστησιν.

Εἰ τοίνυν τις ὑμῶν ὦ ἄνδρες Ἀθηναῖοι.] Πληρώσας ἅπαν τὸ πρός τι μετῆλθεν ἐπὶ τὴν πηλικότητα, ἥτις περιέχει μὲν αὔξησιν καὶ αὐτὴ[5]) τοῦ πραχθέντος, διαφόρως δὲ ἢ κατὰ τὸ[6]) πρός τι· ἐν ἐκείνῳ μὲν γὰρ τὸ δημόσιον ηὔξησεν, οἷον τὸ κατὰ τὸν χορηγόν, ἐν ταύτῃ δὲ τὸ ἰδιωτικόν, τὸ κατὰ τὰς πληγάς. καὶ τὸ μὲν πρός τι τῶν ἐν αὐτῷ τῷ θεάτρῳ καὶ τῇ πανηγύρει πραχθέντων ἔχει τὴν ἐξέτασιν, ἡ δὲ πηλικότης καθόλου περὶ ὕβρεως

1) Ita Lut., αὐτοῦ vulg. 2) Ita Ald., προςέ (sic) τις καὶ Herv., εἴτε τις καὶ om. W., τις om. Lut. 3) φιλοτιμίαν Lut. 4) μηδὲ] Ita Lut., μὴ δὲ Ald., μὴ τὸ Herv. Wolf. 5) Ita W. pro αὔτη. 6) τὸ addidi de coni., ἢ τὸ πρὸς W. de coni.

---

1) τοιοῦτον οὐδέν] τοῦτο Σ. 2) ἐμοὶ δ' — ὑπέστην Tiber. de fig. p. 20. 3) ὦ Ἀθηναῖοι Dionys., ὦ ἄ. Ἀθ. om. Tiber. 4) Ita Aug. Reisk. Bu. Be., μανίαν vulg. FΠΥΩkstv et γρ. Σ Dionys. et Tib., μανεὶς Σ. 5) καὶ om. Tib. 6) φιλοτιμίαν vulg. ante Reisk. ktv et corr. Ω Dionys. Tiber. 7) ἐπαρηκολούθησεν Σ, ἐπηκολούθησεν ΠΩs Felic. Paul. Herv. 2. 8) ἱερῶν om. Dionys.

ἔχει τὴν ὀργὴν ἐπὶ Μειδίαν, ἢ ὡς οὐ [1]) δέον αὐτὸν τε-

---

ποιεῖται τὸν λόγον, ὅτι δεινὸν ἡ ὕβρις· ὥστε ἐκεῖ μὲν τὸ ἰδιωτικόν, ἐνταῦθα δὲ τὸ γενικὸν ἐξετάζεσθαι [1]). καὶ ἐν μὲν τῷ πρός τι παντὶ προσάγει τὴν αὔξησιν, ἐν δὲ τῇ πηλικότητί τινα καὶ ἐλάττω [2]). αὔξει μὲν γὰρ τὴν Μειδίου θρασύτητα, καθαιρεῖ δὲ τὴν ἑαυτοῦ γνώμην, ὡς ἔλαττον τοῦ προσήκοντος ἐπὶ τοῖς γινομένοις παροξυνθεῖσαν. ἴδιον δὲ μάλιστα πηλικότητος, μὴ μόνον αὔξειν ἀλλά τινα καὶ μειοῦν. κἀκεῖ μὲν ὡρισμένους [3]) τόπους ἐγύμνασεν, ἐνταῦθα δὲ ἁπλῶς ἀορίστως τὰ ἐμπίπτοντα παραλαμβάνει πρὸς αὔξησιν. ἔτι πρὸς τούτοις ἐν παντὶ τῷ λόγῳ πρῶτον μὲν τάττει τὰ δημόσια, δεύτερον δὲ τὰ ἰδιωτικά, ἵνα διὰ τῆς ἐκείνων προλήψεως καὶ ταῦτα ὡς δημόσια φαίνηται. καὶ νῦν οὖν εἰκότως δευτέραν προσέταξε τὴν πηλικότητα τῷ [4]) πρός τι· καὶ γὰρ τὸ ἰδιωτικὸν ἐν αὐτῇ περιείληφεν· ἐξ ἀντιῤῥήσεως [5]) δὲ ἐπήγαγε τὴν πηλικότητα· τοῦτο δὲ ἐν ὅρῳ γίγνεται μόνῳ. ἐν γὰρ ταῖς [6]) στάσεσιν ἡ πηλικότης ἐπιλογικὴν ἔχει τὴν [7]) χώραν· αὔξησιν γὰρ ἔχει· τῶν δὲ ἐπιλόγων ἡ αὔξησις. ἐν ὅρῳ δὲ κεφαλαίου δύναμιν ἔχει διὰ τὴν φύσιν τοῦ ὅρου· ἐν γὰρ τοῖς ὅροις, ἐν οἷς μάλιστα ὁμολογεῖται τὸ πεπραγμένον, περὶ αὔξησιν ἔστιν ἡ πᾶσα ζήτησις τῶν κεφαλαίων, τοῦ μὲν κατηγόρου τὸ μεῖζον ἐπάγοντος, τοῦ δὲ φεύγοντος ἐπὶ τὸ ἔλαττον ἀποκλίναντος. ὥστε οὐδὲν κωλύει, [8]) καὶ τὴν πηλικότητα αὔξησιν ἔχουσαν κεφαλαίων [9]) ἔχειν τὴν ἐργασίαν, τοῦ μὲν αὔξοντος ἐν αὐτοῖς, τοῦ δὲ μειοῦντος. παρὰ δὲ τῶν δικαστῶν εἴληφε τὴν ἀντίθεσιν, εἰκότως. ἔστι γὰρ περὶ τιμήματος ὁ λόγος· τὸ δὲ τιμᾶσθαι τοῦ τε κατηγόρου καὶ τῶν δικαστῶν ἐστιν. συνήθως δὲ κἀνταῦθα τὴν δύναμιν τῆς ἀντιθέσεως ἐνήλλαξεν. οὕτω γὰρ ἂν ὁ Μειδίας προήγαγεν· „ἀλλ' οὐδὲν [10]) πέπονθας δεινὸν Δημόσθενες· οὔτε γὰρ σκέλος ἐπηρώθης,

1) *ἐξετάζεται* mg. Lut. 2) An *ἐλάττωσιν*? 3) Ita W. pro *ὡρισμένως*. 4) Erat *τοῦ*. 5) Ita W., *ἀντιῤῥήσεως* Ald. Herv., *ἀντιθέσεως* Lut. Bav., recte. 6) *ἐν γὰρ ταῖς ἄλλαις στάσεσιν* Bav. 7) *τὴν* om. Bav. 8) *κωλείει* Ald. Herv. 9) Ita W., *κεφάλαιον* Ald. Herv. Lut., *κεφαλαίου* Bav. 10) Ita W. et Lut., *οὐδὲ* vulg.

---

1) Ita vulg. et FΠYΩkrstv, *οὐ* uncis inclusit Reisk., om. Be. cum Σ, Spald. *ἢ* uncis inclusit, vulg. tuetur Bu., contra facit Schaef., *οὐδένον* Herv.

θνάναι [1]), οὐκ ὀρθῶς ἔχει [2]). οὐ γάρ ἐστι δίκαιον οὐδὲ προςῆκον, τὴν τοῦ παθόντος εὐλάβειαν τῷ μηδὲν ὑποστειλαμένῳ πρὸς ὕβριν μερίδα εἰς [3]) σωτηρίαν ὑπάρχειν· ἀλλὰ τὸν μὲν ὡς [4]) ἁπάντων τῶν ἀνηκέστων αἴτιον κολάζειν προςήκει, τῷ δ' ἐπὶ τοῦ βοηθεῖν ἀποδιδόναι τὴν χά-

---

οὔτε χεῖρας συνετρίβης, οὔτ' ἄλλο τηλικοῦτον οὐδέν. πῶς οὖν αὔξεις τὸ πρᾶγμα καὶ θανάτου τιμᾷς"; ἴδωμεν οὖν καὶ ταύτην τὴν ἀντίθεσιν. „οὐδὲ γάρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἐγὼ τῷ λόγῳ τὸ πρᾶγμα νῦν αἴρω." τοιαύτη ἦν ἡ ἀντίθεσις τοῦ Μειδίου, ἐλαττοῦσα τὸ γινόμενον, ὡς ἄρα ἱκανὸς τὰ μικρὰ ἐγεῖραι τῷ λόγῳ· δεινὸν γὰρ οὐδὲν ἐκ τούτων συμβέβηκεν. ἀλλ' οὗτος τὴν πρώτην εἰςαγωγὴν τῆς ἀντιθέσεως παρὰ τῶν δικαστῶν ἔλαβεν, ἵνα δείξῃ τὸν μὲν Μειδίαν οὐκ ἔχοντα λοιπὸν ὅ τι ἀπολογήσεται, τοὺς δὲ δικαστὰς ἀμφιβάλλοντας περὶ τοῦ τιμήματος. δῆλον οὖν ἐκ τούτων, ὅτι πηλικότης ἐστὶν ἡ ἐξεταζομένη· περὶ γὰρ ποσότητος τοῦ τιμήματός ἐστιν ἡ ἐξέτασις [1]). (Σημείωσαι· ἡ πηλικότης. **alind:** ἐνταῦθα ἡ πηλικότης, ἥτις περιέχει μὲν αὔξησιν τοῦ πραχθέντος, διαφόρως δὲ ἢ κατὰ πρός τι. ἐξ ἀντιθέσεως δὲ εἰςήχθη, ἥτις ἐν ὅρῳ γίνεται μόνῳ· ἐν γὰρ ταῖς ἄλλαις στάσεσιν ἡ πηλικότης ἐπιλογικὴν ἔχει χώραν· αὔξησιν γὰρ ἔχει τῶν ἐπιλόγων· ἐν ὅρῳ δὲ κεφαλαίου δύναμιν ἔχει. διὰ (**sic: nihil amplius.**) **B.**)

*Οὐ γάρ ἐστι δίκαιον.*] Οὐδέν, φησί, γέγονε δεινὸν οὐδὲ φόνος ἢ πήρωσις διὰ τὴν ἐμὴν ἐπιείκειαν, οὐ διὰ τὸν Μειδίαν. ὁ μὲν γὰρ πάντα εἰς αὐτὸν ἥκοντα πεποίηκεν, ἐγὼ δὲ μὴ βουληθεὶς ἀμύνασθαι παρέσχον [2]) ἀφορμὴν τοῦ μηδὲν ἀνήκεστον γενέσθαι. (Ἀντίθεσις. **B.**)

(*Ἀλλὰ τὸν μέν.*] Σημείωσαι· πηλικότητος ἀντίθεσις καὶ ταύτης λύσις. **B.**)

1) ζήτησις **mg. Lut.** 2) παρέχον **Herv.**

---

1) **Bu. ex Ulpiano coniecit, scripsisse oratorem:** τεθνάναι διὰ τὸ μηδὲν ἀνήκεστον γεγονέναι, οὐκ ὀρθῶς ἔχει. 2) ἔχει] γινώσκει **Lessing. Aug. kr.** 3) εἰς] πρὸς **ΥΩs.** 4) οἷς **Paul.**

71 ριν. οὐδὲ γὰρ αὖ τοῦτ᾽ ἔστιν [1]) εἰπεῖν, ὡς οὐ γεγενημένου 21
πώποτ᾽ οὐδενὸς ἐκ τῶν τοιούτων δεινοῦ τῷ λόγῳ τὸ πρᾶγμα Bu.
ἐγὼ νῦν αἴρω καὶ φοβερὸν ποιῶ. πολλοῦ γε καὶ δεῖ. ἀλλ᾽ b.
ἴσασιν ἅπαντες, εἰ δὲ μή, πολλοί γε, Εὔθυνον [2]) τὸν παλαίσαντά ποτ᾽ [3]), ἐκεῖνον [4]) τὸν νεανίσκον, καὶ [5]) Σώφιλον [6]) τὸν παγκρατιαστήν (ἰσχυρός τις ἦν, μέλας· εὖ οἶδ᾽ ὅτι γιγνώσκουσί τινες ὑμῶν, ὃν λέγω) τοῦτον ἐν Σά-

---

Οὐδὲ γὰρ αὖ τοῦτ᾽ ἔστιν εἰπεῖν.] Αὕτη ἦν ἡ ἐξ ἀρχῆς τοῦ Μειδίου ἀντίθεσις, „τῷ λόγῳ τὰ πράγματα φοβερὰ ποιεῖς, οὐδενὸς δεινοῦ γεγονότος“. ὁ δὲ ἐν ἀρχῇ μὲν ἐφοβήθη θεῖναι, προλαβὼν δὲ ταῖς λύσεσι καὶ ταῖς κατασκευαῖς τὸν ἀκροατήν, „ὅτι διὰ τὴν ἐπιείκειαν τὴν ἐμὴν οὐδὲν γέγονε δεινόν“, τότε ἔθηκε φανερῶς, ὅτι οὐκ ὠφελεῖται Μειδίας ταῦτα προβαλλόμενος, δεδειγμένου τοῖς δικασταῖς, ὅτι οὐ δι᾽ ἐκεῖνον ἀλλὰ δι᾽ αὐτὸν οὐδὲν ἀνήκεστον γέγονεν. (Ἐπίκρισις τὸ σχῆμα. B.)

Ἀλλ᾽ ἴσασιν ἅπαντες.] Πρώτας τίθησι τὰς παραδειγματικὰς πίστεις, πιθανωτέρας οὔσας τοῖς ἀκούουσιν. οὐ μὴν ἐπὶ τούτων ἔστιν εἰπεῖν ἀπὸ τοῦ μείζονος ἢ ἀπὸ τοῦ ἐλάττονος, ὥσπερ ἐν τῷ πρός τι· οὐδὲν γὰρ τοιοῦτον ἐν αὐταῖς καταφαίνεται.

Ἰσχυρός τις ἦν μέλας.] Ἐκ πολλῶν σημείων ἐπιφέρει [1]) τὴν μνήμην, ἔχει δὲ καὶ τῆς ὕβρεως ἔμφασιν. ὁ παγκρατιαστής, ὁ γεγυμνασμένος ἐν τῷ τύπτεσθαί, φησι, καὶ φέρειν πληγὰς ἐπιστάμενος, οὐκ ἤνεγκε τυπτηθείς· ἡ γὰρ ὕβρις τὴν ὀργήν, οὐχ ὁ πόνος ἐκίνησεν. ἀμφιβόλου δὲ ὄντος τοῦ ῥηθέντος, εἴη ἂν ὁ μὲν Εὔθυνος ὁ λυπήσας, ὁ δὲ ἀποκτείνας ὁ Σώφιλος.

1) ἐπεγείρει Wolf. de coni.

---

1) ἔνεστιν kr. 2) Εὔθυμον Reisk. de coni. Meursii. 3) ποτε vulg. ante Reisk. 4) Be. distinxit: ποτ᾽ ἐκεῖνον, τόν. 5) Ita libri omnes, Reisk. καὶ de suo eiecit, quem sequuntur Bu. et Schaef., revocaverunt particulam Boeckh. de temporibus Midianae orationis p. 28 et Be. 6) Σόφιλον t.

μῳ ἐν συνουσίᾳ τινὶ καὶ διατριβῇ οὕτως [1]) ἰδίᾳ, ὅτι ὁ τύ-
πτων [2]) αὐτὸν ὑβρίζειν ᾤετο, ἀμυνάμενον [3]) οὕτως ὥςτε
καὶ ἀποκτεῖναι. ἴσασιν Εὐαίωνα πολλοί, τὸν Λεωδάμαν- c.
τος [4]) ἀδελφόν, ἀποκτείναντα Βοιωτὸν ἐν δείπνῳ καὶ συνό-
72 δῳ κοινῇ διὰ πληγὴν μίαν, οὐ γὰρ [5]) ἡ πληγὴ παρέστησε

---

*Ἐν συνουσίᾳ τινὶ καὶ διατριβῇ.*] Τετραπλῆ ἐστιν ἡ τῆς πηλικότητος ἐργασία· καὶ γὰρ καθαιρεῖ καὶ [1]) τὰ τῶν ἄλλων, ὅτι μικρὰ παθόντες ὅμως μεγάλως [2]) ἠμύναντο, καὶ αὔξει τὰ καθ' ἑαυτόν, ὅτι μεγάλα παθὼν οὐδ' ὅλως ἠμυνάμην, καὶ πάλιν αὔξει τὴν Μειδίου θρασύτητα, καθαιρεῖ δὲ τὴν ἑαυτοῦ γνώμην, ὡς ἔλαττον τοῦ δέοντος παροξυνθεῖσαν, ἐξ ὧν ἐπιείκειαν ἑαυτῷ μαρτυρεῖ. καὶ πρῶτον μὲν τὰ [3]) τῶν παθόντων ἐλαττοῖ. Σώφιλος καὶ Εὐαίμων [4]) ἰδίᾳ τυπτηθέντες, καὶ φίλων ἐναντίον, καὶ ἐν δείπνῳ, καὶ ἔνθα μὴ βαθίζειν ἐξῆν αὐτοῖς, ὅμως οὕτως ὠργίσθησαν, ὥςτε καὶ ἀποκτεῖναι τοὺς ὑβρίσαντας. ἐγὼ δὲ ἐν θεάτρῳ πάντων ἐναντίον τῶν Ἑλλήνων, καὶ οὗ [5]) πολλὴ ἦν ἀνάγκη βαδίζειν, ἐτυπτόμην, ἀλλ' ὅμως οὐκ ἠμυνάμην. οὐκοῦν ἐν τούτοις ηὔξησεν ἃ πέπονθεν αὐτός.

*Ἴσασιν Εὐαίμονα [6]) πολλοί.*] Μέμφονται τοῦτο, ὡς ἀσαφῶς ἀπηγγελμένον. ἄδηλον γάρ, τίς ὁ τυπτήσας ἢ τίς ὁ φονευθείς, καὶ πότερον Βοιωτὸς [7]) ἦν ὁ ἀποκτείνας, ἢ Εὐαίμων [8]). αἴτιον δὲ τῆς ἀσαφείας τὸ ὁμοι-

1) Malim καὶ γὰρ καὶ καθαιρεῖ. 2) Ita W. et Lut. pro μεγάλων. 3) πρῶτον μὲν τὰ] Ita Lut., πρῶτον τὸν μὲν vulg., πρῶτον τὸ μὲν W. 4) Εὐαίων Lut. 5) Malis οἷ, sed non opus. cf. Bornem. ad Xen. Cyrop. V. 4. 15. ἦλθεν ἐν Ἀθήναις Argum. or. Lycurg. al. 6) Hic Lut. et W. Εὐαίωνα, qui supra non sustulit Εὐαίμων. 7) Ita W. et Lut. pro βιωτός. 8) εὐαίων mg. Lut.

---

1) οὕτως vocabulum Wolf. Iurin. Tayl. damnaverunt, quod ex versu proximo huc irrepsisset, et uncis inclusit Spald. 2) ὅτι τύπτοντα αὐτὸν ὑβρίζειν ᾤετο coni. Vater., ὅτι τύπτων αὐτὸν ὑβρίζειν ᾤετο δεῖν coni. Schaef., ὁ τύπτων Boeckhius tamquam glossema delendum arbitratur. An scribendum ὅτι τὸ τύπτειν? 3) ἀμυνόμενον Ftv Par. 1. 5. Bav. 4) λαοδάμαντος Tiber. de figur. p. 59 (qui haec ἴσασιν — ἀδελφὸν ut ἀσύνδετον κατὰ κῶλον excitat) Aug. kr. 5) οὐ γὰρ — τοῦ προπηλακίζεσθαι fr. 16. §. 6. D. de poenis (48, 19). Schol. in Basilic. 60, 51. T. 7, p. 855.

τὴν ὀργήν [1]), ἀλλ' ἡ ἀτιμία· οὐδὲ τὸ τύπτεσθαι τοῖς ἐλευθέροις ἐστὶ δεινόν, καίπερ ὂν δεινόν, ἀλλὰ τὸ ἐφ' ὕβρει. πολλὰ [2]) γὰρ ἂν [3]) ποιήσειεν [4]) ὁ τύπτων ὦ ἄνδρες Ἀθη- d.
ναῖοι, ὧν ὁ παθὼν ἔνια οὐδ' ἂν ἀπαγγεῖλαι δύναιθ' [5]) ἑτέρῳ [6]), τῷ [7]) σχήματι, τῷ βλέμματι, τῇ φωνῇ, ὅταν

---

όσχημον τῆς ἀπαγγελίας. πάντα γὰρ τὰ ὀνόματα κατὰ πτῶσιν αἰτιατικὴν προήγαγεν.

Οὐδὲ τὸ τύπτεσθαι τοῖς ἐλευθέροις.] Ἔδειξεν, ὅτι τοῦ καθόλου καὶ γενικοῦ αὔξησιν ποιεῖται, συνεμφαίνει δὲ οὐδὲν ἧττον ἐν τῷ καθόλου τὸ καθ' αὐτόν. καὶ τὸ ἐφ' ὕβρει δὲ καλῶς προςέθηκεν.

Πολλὰ γὰρ ποιήσειεν ὁ τύπτων.] Διατυπώσει κέχρηται. ἴδιον δὲ μάλιστα τῆς πηλικότητος ἡ διατύπωσις, ἐπειδὴ ὑπ' ὄψιν ἄγουσα τὰ πράγματα, πλείω ποιεῖ τὴν αὔξησιν. ἔχει δὲ συγγένειαν πλείστην πρός τε ἔκφρασιν καὶ διήγησιν. ἐν ἅπασι γὰρ τούτοις ἔκθεσίς ἐστι πραγμάτων γεγονότων, ἀλλὰ τὸ μὲν διήγημα ἁπλῆν καὶ ἀκατάσκευον ἔχει τὴν ἔκθεσιν, ἡ δὲ διατύπωσις τὸ πᾶν ἐν [1]) αὐξήσει καὶ ἐναργείᾳ κεῖται. καὶ αὖ τὸ μὲν διήγημα κατ' ἀκολουθίαν πρόεισι τοῖς συνδέσμοις ἑνούμενον [2]), ἡ δὲ διατύπωσις κομματική [3]) ἐστι καὶ ἀπόλυτος, δι' ἐξαλλαγῆς [4]) σχημάτων προϊοῦσα.

Ὅταν ὡς ὑβρίζων.] Ταῦτα δὲ διὰ τοὺς πατέρας καὶ διὰ τοὺς διδασκάλους, οἵτινες οὐ δι' ἔχθραν ἀλλ' ἐπὶ νουθεσίᾳ τύπτουσιν. (Σημείωσαι· ἐπαναφορά. B.)

1) ἐν] Hoc addidi ex Lut., pro κεῖται W. de coni. χρῆται. 2) ἐνούμενον Ald. Herv. 3) κομαματική Ald. Herv. 4) διεξαλλαγῆς Ald. Herv.

---

1) ὕβριν Dig. (sed ὀργὴν Haloand.) et schol. Basil. 2) πολλὰ γὰρ — τὸ δεινὸν παραστῆσαι Longin. de sublim. 20. πολλὰ γὰρ — προπηλακίζεσθαι Plutarch. Platon. Quaest. X, 3 (13, 282 H.). Tangitur locus a Quintil. 6, 1, 17 et Muson. ap. Stob. 19, 16. (p. 169, 45 s. 369 Schow.). 3) ἂν om. lemma in schol. 4) ποιῇ schol. Basilic. 5) δύναιτο Longin. Plut. Dig. (δύναιθ' Haloand.) Schol. Basil. 6) ἑταίρῳ Ft. 7) τῷ om. Dig.

ὡς [1]) ὑβρίζων, ὅταν ὡς [1]) ἐχθρὸς ὑπάρχων [2]), ὅταν κον-
δύλοις [3]), ὅταν ἐπὶ κόῤῥης [4]). ταῦτα [5]) κινεῖ, ταῦτα [6])
484 Bk. "ἐξίστησιν "ἀνθρώπους αὐτῶν [7]), ἀήθεις ὄντας [8]) τοῦ 538 R.
προπηλακίζεσθαι. οὐδεὶς ἂν [9]) ὦ ἄνδρες Ἀθηναῖοι [10]) ταῦτ' ε.
ἀπαγγέλλων δύναιτο τὸ δεινὸν παραστῆσαι τοῖς ἀκούουσιν
οὕτως, ὡς ἐπὶ τῆς ἀληθείας καὶ τοῦ πράγματος τῷ πά-
73 σχοντι καὶ τοῖς ὁρῶσιν ἐναργὴς ἡ ὕβρις φαίνεται. σκέψα-
σθε δὴ [11]) πρὸς Διὸς καὶ θεῶν ὦ ἄνδρες Ἀθηναῖοι [12])
καὶ λογίσασθε [13]) παρ' ὑμῖν αὐτοῖς, ὅσῳ [14]) πλείονα ὀρ-

---

Ὅταν κονδύλους [1]).] Ἃ πέπονθεν αὐτός, ταῦτα ἐν τῷ καθόλου προάγει, φεύγων τὸ φανερῶς ἑαυτὸν ὑβρίζειν. οὕτω καὶ ἐν τῷ περὶ στεφάνου [2]), „εἰ μὲν ἴστε τοιοῦτον", διὰ τῆς ἐμφάσεως μόνης ἀπελύσατο τὰς βλασφημίας.

Ὅταν ἐπὶ κόῤῥης.] Τῆς κεφαλῆς, τουτέστιν ἐπὶ κόρσης, ὥσπερ μυῤῥίνη καὶ μυρσίνη.

Ταῦτα ἐξίστησιν ἀνθρώπους.] Ἔξω ἑαυτῶν γενέσθαι καὶ μανῆναι ποιεῖ, καὶ τὸ αἴτιον ποῖον; ἀήθεις [3]) ὄντας· ταράττει γὰρ τὸ ἀπροσδόκητον καὶ οὐκ εἰθισμένον.

Ὅσῳ πλείονα ὀργὴν ἐμοὶ προσῆκε.] Τοῦτό ἐστιν, ἐν ᾧ τὴν ἑαυτοῦ γνώμην ἐλαττοῖ μετὰ [4]) τῶν παθόντων, αὔξει δὲ τὰ καθ' ἑαυτόν.

1) ἐξούλοις Ald. post. Herv. 2) αὐτῶι ΠΣΥΩ. 3) καὶ om. Ω. 4) pro ἤδη Wolf. mavult ἐπὶ. 5) ἀεὶ] δ' ἀεὶ Ωsv et rc. Υ, ὡς ἀεὶ corr. t. 6) διαβαλλόμενον Bav. 7) κακὸν om. ΠΩks. Aug. Bu., qui debebat certe πεποίηκεν scribere, id quod fecit Blum. 8) Reisk. maluit, κακὸν omisso, πέρας τῆς. 9) δίκης ἧς λέγω ταύτης ἣν γρ. Σ. In Ald. Herv. Felic. Wolf. sic distinguitur: δίκης ταύτης, λέγω ἧς, in Lut. ταύτης, λέγω, ἧς. 10) Στράτωρ Par. 5.

ληρεύς [1]), ἄνθρωπος πένης [2]) μέν τις καὶ ἀπράγμων, ἄλλως δ' οὐ πονηρός, ἀλλὰ καὶ πάνυ χρηστός· ὅπερ [3]) τὸν

---

γεγονότας καὶ καθαροὺς πάσης αἰτίας ὑπειλημμένους ἀπὸ τοῦ ληξιαρχικοῦ γραμματείου κληρώσαντες τὰ τῶν πολιτῶν διαιτᾶν ἐποίουν. ξένοις [1]) μέντοιγε ἐπὶ τοῦτο ἐλθεῖν οὐ συγκεχώρητο. ἔξεστι δὲ τοῖς μεμφομένοις τὴν τῶν διαιτητῶν κρίσιν ἐκκαλεῖσθαι τὸ δημόσιον δικαστήριον. καὶ [2]) εἰ μὲν ἤρεσκε τοῖς ἀντιδίκοις, τέλος εἶχεν ἡ δίκη. εἰ δὲ μή, τὰ ἐγκλήματα καὶ τὰς προκλήσεις [3]) καὶ τὰς μαρτυρίας ἔτι δὲ καὶ τοὺς νόμους καὶ τὰς ἄλλας πίστεις ἀμφοτέρων ἐμβαλόντες εἰς καδίσκους καὶ σημηνάμενοι παρεδίδοσαν τοῖς εἰςαγωγεῦσι τῶν δικῶν. Διαιτῶν λέγεται ὁ δικάζων καὶ διαιτῶ τὸ ἴσον νέμω, καὶ διαιτητήριον, ἐν ᾧ διαιτῶνται. ὥςπερ καὶ τὸ καταδιαιτήσω καταδικάσω, κατακρινῶ. B.)

Ἄνθρωπος πένης μέν τις.] Προσυνίστησι τὸ πρόσωπον ἀναγκαίως, ἵνα μὴ λάβωσι χώραν αἱ τοῦ Μειδίου διαβολαί. πένης δὲ εἶπεν· οὐ γὰρ χρὴ τὰ πρόδηλα ἀρνεῖσθαι.

Καὶ ἀπράγμων.] Συνῆψε τῷ πράγματι [4]) τὴν ἀπραγμοσύνην, ἵνα τὴν ἐναντίαν δόξαν ἀφέληται.

Ἄλλως δ' οὐ πονηρός.] Τὴν μὲν τύχην πονηρὸς [5]) οἱονεὶ δυςτυχής, τὸν δὲ τρόπον οὐ πονηρός. ἐπήγεσε δὲ τὰ μὲν κατὰ θέσιν τὰ δὲ ἐξ ἀναιρέσεως, ὡς φεύγων τὸ προςκορές.

Ἀλλὰ καὶ πάνυ χρηστός.] Τὸν ἀφελῆ νῦν [6]) καὶ ἁπλοῦν ἐπαινεῖν ἔοικεν, ἵνα δείξῃ καταγοητευθέντα τὸν Στράτωνα παρὰ τοῦ Μειδίου.

Ὅπερ τὸν ταλαίπωρον οὐκ ὀρθῶς.] Ἑτέραν πρόφασιν τοῦ Μειδίου λέγοντος, ὅτι διὰ τὴν πονηρίαν κατεγνώσθη, ἑτέραν ὁ ῥήτωρ προβάλλεται· „τί συγχεῖς, φησίν, ὦ Μειδία τὰ πράγματα, τὴν ἐπιείκειαν συμφορᾶς

1) cf. Hudtwalk. de arb. p. 38. contra quem pugnat Lex. Rhet. 310, 17. οἱ διαιτηταὶ πᾶσαν δίκην δικάζουσι πλὴν τῶν ξενικῶν. 2) Verba καὶ εἰ μὲν et quae sequuntur, ut ex Suid. intelligitur, ad novum scholion de arbitris pertinent. 3) Erat προβλήσεις. 4) τῇ πενίᾳ γρ. mg. Lut. 5) An πάνηρος hic scribendum? 6) νοῦν γρ. mg. Lut.

---

1) φαλιρεὺς Aug. 2) πένης om. t. 3) ὅπερ] ὅπερ καὶ Ω.

ταλαίπωρον οὐκ ὀρθῶς οὐδὲ δικαίως [1]) ἀλλὰ καὶ πάνυ αἰ-
84 σχρῶς ἀπολώλεκεν. οὗτος [2]) διαιτῶν ἡμῖν ὁ Στράτων, e
ἐπειδή ποθ' ἧκεν ἡ κυρία, πάντα δ' ἤδη διεξεληλύθει [3])
τὰκ [4]) τῶν νόμων, ὑπωμοσίαι καὶ παραγραφαί, καὶ οὐδὲν

---

ἀπεργασάμενος πρόξενον"; τὸ δὲ „ἀπολώλεκεν" ἐπὶ τῆς ἀτιμίας φιλεῖ λέγειν ὁ ῥήτωρ, ὅτι περ ἐγγὺς θανάτου καθέστηκεν.

Ἐπειδή ποθ' ἧκεν ἡ κυρία.] Ἵνα μὴ [1]) ἄφνω συμβᾶσα συγγνώμην ποιήσῃ τῷ Μειδίᾳ, ὡς ἄρα εἰκότως ἠγνόησεν.

Ὑπωμοσίαι καὶ παραγραφαί.] Ὑπωμοσίαι ὅρκοι ἀναβολὴν τῆς δίκης ποριζόμενοι, ἐάν τις προφασίζηται ἢ νόσον ἢ θάνατον οἰκείων [2]) ἢ ὅλως τῆς τύχης ἐπήρειαν. καὶ ἡ παραγραφὴ δὲ ἄλλη ἐκβολῆς [3]) πρόφασις, ἢ πρόσωπον παραγραφομένη ἢ χρόνον. Ἄλλως, εἰς τὸ αὐτό. Ἔδει τὸν μέλλοντα κατηγορεῖν, εἰ πάντα ἕτοιμα ἔχει [4]) πρὸς τὸν ἀγῶνα, ἐρωτᾶσθαι· εἰ δὲ συνέφησεν ἐκεῖνος, ὅρκον ἀπητεῖτο λοιπὸν ὑπὲρ τοῦ ἐπεξελθεῖν [5]). εἰ μὲν οὖν ἦν [6]) ὀμόσας, εἰσήγετο· εἰ δὲ ᾔτησέ τινα χρόνον ὑπὲρ τοῦ ἐπισκέψασθαι, ἔμενεν ἡ γραφή. ἐκαλεῖτο δὲ τὸ τοιοῦτον ὑπωμοσία. διεξεληλύθει [7]) οὖν, φησίν, ἡ ὑπωμοσία, τουτέστιν, οὐκ ἦν ἐν μετεώρῳ τὰ τῆς κατηγορίας· ὀμομώκει [8]) γάρ· ἀλλὰ καὶ αἱ [9]) παραγραφαὶ διεξεληλύθεσαν. πολλάκις γὰρ οἱ ἀντίδικοι παρεγράφοντο, „οὐ πρὸς διαιτητήν με κρίνεσθαι δεῖ ἀλλὰ πρὸς ἄρχοντα ἢ θεσμοθέτην, οὐ σὲ δεῖ κατηγορεῖν ἀλλ' ἕτερον, οὐ νῦν ἀλλ' αὖθις", καὶ τὰ τοιαῦτα. ταῦτα οὖν διεξεληλύθει, τουτέστιν, εἴ τινας εἶχε

1) Ita W. et Lut. pro μὲν. 2) οἰκεῖον Herv. 3) ἀναβολῆς Lut., recte; ibid. additur post προφας. ἢ τρόπον ἢ πρόσωπον κτλ. 4) πρὸς] τὰ πρὸς Lut. 5) Ita W. et Lut. pro ἐξελθεῖν. 6) εἰ μὲν οὖν ἦν ὀμόσας] Ita Ald., ἦν om. Herv. Lut., ὁ μὲν οὖν ὀμόσας W. de coni., ὤμοσεν mg. Lut. 7) διεξεληλύθειν Herv. 8) ὀμωμόκειν Lut. 9) Addidi αἱ de coni.

---

1) Ita Tayl. et Reisk. ex Aug. Barocc. Less. eosque sequuntur posteriores editores omnes, οὐκ ὀρθῶς ἀλλὰ καὶ πάνυ αἰσχρῶς οὐδὲ δικαίως FΠΣYΩstv et vulg. ante Tayl. 2) Ita ΠYΩs Be., οὑτοσὶ vulg. 3) διεξεληλύθει ταῦτα τὰκ Σ Bu., neque male; διεληλύθει r. 4) Ita ΠΣΩstv Bu. Be., τὰ ἐκ vulg.

ἔτ' ἦν ὑπόλοιπον, τὸ μὲν πρῶτον ἐπισχεῖν ἐδεῖτό μου τὴν

---

παραγραφὰς ὁ Μειδίας, πεπληρώκει, καὶ ὡμολόγητο[1]) σαφῶς, ὅτι χρὴ πρὸς διαιτητὴν δικάσασθαι. ταῦτα δὲ ὁ ῥήτωρ φησί, βουλόμενος δεῖξαι, ὅτι Μειδίᾳ οὐδεμία ἦν πρόφασις τοῦ μὴ ἀπαντῆσαι, δι' ὧν συνίστησιν, ὅτι δικαίως αὐτοῦ κατεδιῄτησεν ὁ Στράτων. (Ὑπωμοσία[2]).] Τὸ ὑπερτίθεσθαι δίκην, προφάσει χρώμενον ἀποδημίᾳ ἢ νόσῳ ἤ τινι παραπλησίων μεθ' ὅρκου οὕτως ἐλέγετο, καὶ τὸ ποιεῖν τοῦτο ὑπόμνυσθαι. ibid. Παραγραφαί[3]).] Παραγραφή ἐστιν, ὅταν λέγῃ τις, ὅτι τὸ πρᾶγμα, περὶ οὗ τὸ ἔγκλημά ἐστιν, εἰς τὸ δικαστήριον εἰςήχθη πρότερον καὶ γεγένηται περὶ αὐτοῦ γνῶσις, καὶ διὰ τοῦτό φησι μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίστασθαι κρίσιν· μάλιστα δὲ τοὺς νόμους ἀναγινώσκει τοῖς δικασταῖς, οἳ πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν οὐ συγχωροῦσι. λέγει δὲ περὶ αὐτοῦ τοῦ πράγματος ἅμα τοῖς δικασταῖς παραδεικνύς, ὡς οἱ πάλαι δικάσαντες καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ψηφίσαντες[4]). Καὶ τοῦτό ἐστι παραγραφή· καὶ[5]) οὐδὲ ἔνεστιν αὐτὴν ὁ εἰςάξων ὥςπερ καὶ τὰς ἄλλας δίκας· τῶν γὰρ ἄλλων δικῶν προςτέτακται ἑκάστῳ[6]) τῶν ἐν ταῖς ἀρχαῖς εἰςάγειν τινά. παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοιοῦτον[7]) τι ἐγκαλουμένοις, περὶ οὗ οὐ[8]) νενομοθέτηται. B.)

Ἐπισχεῖν ἐδεῖτό μου.] Οὐχ ὁ Μειδίας, οὐ γὰρ παρῆν, ἀλλ' ὁ Στράτων, δηλονότι λέγων, „ἴσως ἥξει μετὰ μικρόν, μὴ σπεῦδε, μὴ ἀθύμει" ἵνα λύσῃ τὴν ἐναντίαν δόξαν, ἣν ὑπέσπειρεν ὁ Μειδίας περὶ τοῦ Στράτωνος, ὡς ἐστιν ἐχθρὸς αὐτοῦ, δείκνυσι καὶ ὑπὲρ Μειδίου πράττοντα τὸν

1) Ita W., ὁμολογεῖτο Ald. Herv., ὡμολογεῖτο Lut. 2) Eadem habent Harpocr. Phot. Suid. s. v. et Moschopul., nisi quod in uno alterove eorum ἀποδημίας, νόσου Genitivi extant, quo de vide sis, si tanti est, Hudtwalk. de arbitr. p. 91 sq. 3) Haec quoque communia sunt scholiastae cum Suida et Photio, qui autem ipsi ex antiquis commentariis videntur hausisse in aliam vero orationem non in Midianam conscriptis, ut ex ἀναγινώσκει, λέγει δὲ verbis patet. 4) Fortasse scribendum ἐψηφίσαντο, quamquam idem invenitur apud lexicographos. 5) Post καὶ in Suid. Phot. adduntur verba ἐπ' ἐκείνῃ τῇ δίκῃ, περὶ ἧς οὐδὲν ὥρισται παρὰ τοῖς νόμοις, οὐδὲ ἔνεστ. 6) ἑκάστην malo. 7) Ita scripsi de coni., τοσοῦτον vulg. etiam apud lexicogr. 8) οὐ addidi ex Phot. Suid.

δίαιταν, ἔπειτ' εἰς τὴν ὑστεραίαν ἀναβαλέσθαι· τὸ τελευταῖον [1]) δ', ὡς οὔτ' ἐγὼ συνεχώρουν οὔθ' οὗτος ἀπήντα,
85 τῆς δ' ὥρας ἐγίγνετο ὀψέ, κατεδιῄτησεν. ἤδη δ' [2]) ἑσπέρας 542 R.
οὔσης καὶ σκότους, ἔρχεται Μειδίας οὑτοσὶ πρὸς τὸ τῶν

Στράτωνα. βραδύνοντος γὰρ αὐτοῦ, παρεκάλει με τέως ἐπισχεῖν, ἐπαγγελλόμενος [1]), ὅτι ἴσως ἐλεύσεται.

Ἔπειτα εἰς τὴν ὑστεραίαν ἀναβάλλεσθαι [2]).] Ἤδη με καὶ τὴν προθεσμίαν ἠξίου παραβαίνειν ὁ Στράτων, φάσκων, „οὐδὲν [3]) ἐκ μιᾶς ἡμέρας [4]) γενήσεται βλάβος, αὔριον ἀκουσώμεθα [5])“.

Ὡς οὔτ' ἐγὼ συνεχώρουν.] Πολιορκούμενον εἰςάγει πανταχόθεν τὸν Στράτωνα Δημοσθένης, ἀπειθοῦντος [6]) Μειδίου. πρόδηλον οὖν, ὅτι ἄκων κατεδιῄτησεν.

Τῆς δὲ [7]) ὥρας ἐγίγνετο.] Τουτέστιν ἡ δικάσιμος ὥρα τῶν διαιτητῶν παρεληλύθει.

Κατεδιῄτησε.] Μετὰ δυςχερείας ἀναγνωστέον. οὐ γὰρ ἔχων, ὅ, τι ποιήσει [8]) καὶ ποῦ [9]) τράπηται καὶ ἄκων κατεδιῄτησε.

Ηδη δ' [10]) ἑσπέρας οὔσης καὶ σκότους.] Οὐχ ἁπλῶς ἑσπέρας ἀλλὰ καὶ νυκτὸς ἀρξαμένης· διὰ τοῦτο γὰρ τὸ „σκότος“ ἐπήνεγκε. κακοήθειαν δὲ κατηγορεῖ τοῦ Μειδίου. τοιαύτην γὰρ ὥραν ἀπήντησεν, ἐν ᾗ ἐδόκει ἀπαντᾶν καὶ μὴ ἀπαντᾶν, ἀπαντᾶν μέν, ἵν' ἔχῃ τοῦ [11]) κατηγορεῖν, ὅτι ἀπαντήσαντος τὴν ἐρήμην κατεδιῄτησε, μὴ ἀπαντᾶν δέ, ἵνα μὴ καταλαβὼν ἐμὲ προδήλως ἡττηθῇ.

Πρὸς τὸ τῶν ἀρχόντων οἴκημα.] Ὅπου συλλέγονται οἱ ἄρχοντες, ἵνα εἴ τις δέοιτο αὐτῶν, εὑρίσκωνται· ἔδει γὰρ τὴν διαιτηθεῖσαν δίκην ὑπογραφῆναι παρὰ τῶν ἀρχόντων. ἐκεῖ μὲν οὖν κατέλαβε [12]) τὸν διαιτητὴν

1) ἐπαγγελόμενος Ald. Herv. 2) ἀναβαλέσθαι mg. Lut. 3) οὐδὲν] ὅτι οὐδὲν Lut. 4) ἡμέρας om. W., haud dubie operarum errore. 5) ἀκουσόμεθα Lut. 6) οὐκ ἀπαντῶντος mg. Lut. 7) δ' Lut. 8) Malim ποιήσῃ. 9) Malim ποῖ. 10) δ' Lut. 11) τοῦ] αὐτοῦ W. de coni., τοῦ διαιτητοῦ Lut. 12) Ita W. de coni. et Lut., κατέλαβον vulg.

1) Ita FΠΣΥΩstv vulg. ante Reisk. Bu. Di., ἀν. τελευτῶν δ' Aug. kr Reisk. Be., probat Schaef. 2) Ita Be., δὲ vulg.

ἀρχόντων οἴκημα, καὶ καταλαμβάνει τοὺς ἄρχοντας ἐξιόντας καὶ τὸν Στράτωνα [1]) ἀπιόντα [2]) ἤδη, τὴν ἔρημον δεδωκότα [3]), ὡς ἐγὼ τῶν παραγενομένων τινὸς ἐπυνθανόμην. τὸ μὲν οὖν πρῶτον οἷός τ' [4]) ἦν πείθειν αὐτόν, ἣν [5]) καταδεδιῃτήκει [6]), ταύτην ἀποδεδιῃτημένην ἀποφέρειν [7]), καὶ τοὺς ἄρχοντας μεταγράφειν, καὶ πεντήκοντα δραχμὰς
86 αὐτοῖς ἐδίδου· ὡς δ' ἐδυσχέραινον οὗτοι τὸ πρᾶγμα καὶ οὔ- g.

---

ἤδη ἀναχωροῦντα. οὐκοῦν εἰ σκότους ὄντος τότε ἀνεχώρει, πρόδηλον, ὅτι βραδέως κατεδιῄτησεν.

Ὡς ἐγὼ τῶν παραγενομένων τινός.] Τὴν σεμνότητα καὶ τὴν σωφροσύνην τὴν ἑαυτοῦ δείκνυσιν, ὅτι σκότους οὐ παρῆν ἀλλ' οἴκοι διέτριβεν.

Οἷός τ' ἦν πείθειν αὐτόν.] Ἐπειρᾶτο καὶ ἐπεχείρει πείθειν αὐτοὺς κοινῇ μεταθεῖναι τὴν ψῆφον τὴν καταδικάσασαν, καὶ ποιῆσαι αὐτὴν ἀποψήφισιν [1])· τοῦτο γάρ ἐστι τὸ μεταγράφειν τὴν ὑπογραφὴν τῆς διαιτήσεως.

Ὡς δ' ἐδυσχέραινον οὗτοι.] Πολλὴν δικαιοσύνην τοῖς ἄρχουσιν ἐμαρτύρησεν, ὅτι ἐχαλέπαινον θέλοντος χρήμασιν αὐτοὺς τοῦ Μειδίου διαφθείρειν. εἶτα οἱ μὲν ὀλίγοι πολλὰ χρήματα λαμβάνοντες οὐ προήκαντο· ὑμεῖς δὲ τοσοῦτοι τὸ πλῆθος ὄντες ὀλίγα λήψεσθε; τοῦτο γὰρ βούλεται κατασκευάζειν.

Καὶ οὐδετέρους ἔπειθεν.] Οὔτε τὸν ἄρχοντα οὔτε τὸν Στράτωνα. ἔπαινον ποιεῖται τῆς γνώμης αὐτῶν, ὅτι οὐδὲ αὐτῆς ἠνείχοντο τῆς ἀκοῆς. ἀξίωμα δὲ περιέθηκεν

1) ἀποψήφησιν Ald. Herv.

---

1) Στράτωρα Par. 5. 2) ἀπίοντ' Be. 3) δεδιῃτηκότα coni. Tayl. 4) τ' om. k Ald. Herv. Wolf. 5) ἣν] Ita Be. cum Bav. et suorum plurimis, nam soli kr exhibent vulg. τὴν δίκην ἣν. 6) καταδιῄτηκει t. 7) Ita indices Ald. Herv. Felic. Paul. Wolf. Bav. (sed in mg. γρ. ἀποφαίνειν) et plurimi optimique librorum Bekkeri Reisk. et Be., ἀποφαίνειν vulg. ante Reisk. Bu. Ωkrs
αίν
cum γρ. F et corr. v, ἀποφερειν Y.

δετέρους ἔπειθεν, ἀπειλήσας καὶ διαλοιδορηθεὶς ἀπελθὼν τί ποιεῖ; καὶ [1] θεάσασθε [2] τὴν κακοήθειαν [3]. τὴν μὲν δίαιταν ἀντιλαχὼν [4] οὐκ ὤμοσεν, ἀλλ' εἴασε [5] καθ' ἑαυ-

---

ἴσον καὶ τὴν αὐτὴν δικαιοσύνην τῷ τε Στράτωνι καὶ τοῖς θεσμοθέταις.

*Ἀπειλήσας καὶ διαλοιδορηθείς.*] Ἀντὶ τοῦ οὐδὲν εἶδος λοιδορίας ἀφείς. ὁ δὲ τοῖς ἄρχουσι τῆς πόλεως ἀπειλῶν καὶ λοιδορούμενος, ἐφ' οἷς θάνατος ὥρισται, πῶς [1] ἂν ἐφείσατο τοῦ χορηγοῦ;

*Ἀπελθὼν τί ποιεῖ;*] Θαυμάζει τὴν εὕρεσιν, ἐκπλήττεται τὴν ἐπίνοιαν, διὸ καὶ λέγει „θεάσασθε τὴν κακοήθειαν", ἵνα καὶ ὑμεῖς θαυμάσητε.

*Τὴν μὲν δίαιταν ἀντιλαχὼν οὐκ ὤμοσεν.*] Ἔθος ἦν [2], τοὺς καταδικασθέντας ἐρήμην, εἰ νομίζοιεν ἀδικεῖσθαι [3], ἀντιλαχεῖν πρὸς τοὺς ἄρχοντας, οἷον [4] αἰτιάσασθαι τὴν κρίσιν καὶ φάσκειν, ὡς αὖθις θέλουσι κρίνεσθαι. οἱ δὲ τοῦτο ποιοῦντες καὶ ὤμνυσαν, ἦ μὴν ἐπεξιέναι ταῖς ἀληθείαις. ἀντέλαχε μὲν οὖν ὁ Μειδίας καὶ ᾐτιάσατο, οὐ μὴν ὤμοσεν, ὑπόνοιαν ἐντεῦθεν παρέχων τῷ Στράτωνι, ὡς [5] οὐκ ἐπεξέρχεται [6]. δέον γὰρ ὀμόσαι, εἴπερ ἐβούλετο ἐπεξελθεῖν [7], οὐκ ὤμοσεν, ἵνα νομίζων Στράτων, ὅτι ἐν μετεώρῳ ἐστὶ τὰ τῆς δίκης, μὴ παρασκευάσηται πρὸς αὐτήν, διὸ καὶ λέγει, „κυρίαν εἴασε γενέσθαι τὴν ψῆφον, καὶ ἀνώμοτος ἀπηνέχθη", φησί, δηλονότι παρὰ τοῖς ἄρχουσιν.

*Ἀλλ' εἴασε καθ' ἑαυτοῦ κυρίαν γενέσθαι.*] Σοφίζεται ἐνταῦθα. μὴ ὀμόσας γάρ, φησίν, ἐποίησε καθ'

1) Ita W., πότ' vulg. 2) De hoc scholio vide quodnam Hudtw. de arbitr. p. 104. tulerit iudicium. 3) ἀδικῆσθαι W., lege ἠδικῆσθαι. 4) οἷον] καὶ οἷον W. de coni. 5) ὡς] Ita W. et Lut., καὶ vulg. 6) Ita W. et Lut., ἐπέρχεται vulg., γρ. εἰςέρχεται mg. Lut. 7) Ita W., εἰςελθεῖν vulg.

---

1) καὶ om. Aug. kr. 2) θεάσασθαι k. 3) κακοηθίαν pr. Σ. 4) Reiskio μὴ οὖσαν videtur aut deesse aut subaudiendum esse; fallitur Schaeferus, quod eum οὐκ οὖσαν scribere debuisse arbitratur; illud enim iudicium semper dicitur ἡ μή, numquam ἡ οὐκ οὖσα. 5) εἴαγε Paul.

τοῦ κυρίαν γενέσθαι καὶ ἀνώμοτος ἀπηνέχθη· βουλόμενος h.
8 δὲ τὸ μέλλον λαθεῖν, φυλάξας τὴν τελευταίαν ἡμέραν τῶν διαιτητῶν, τὴν τοῦ Θαργηλιῶνος ἢ [1]) τοῦ Σκιροφοριῶνος [2]) γιγνομένην [3]), εἰς ἣν ὁ μὲν ἦλθε τῶν διαιτητῶν δ

---

ἑαυτοῦ κυρίαν καὶ [1]) τὴν δίαιταν. καίτοι φήσειεν ἂν ὁ Μειδίας, ὅτι μὴ ὀμόσας ἐν [2]) μετεώρῳ τὴ νδίαιταν εἴασε. καταγνωσθέντος δὲ αὐτοῦ παρὰ τῆς βουλῆς, λέλυται καὶ τὰ [3]) τῆς διαίτης. ὁ δέ φησιν, ὅτι ἐκεῖνος οὐ θελήσας ὀμόσαι ἐν τούτῳ συνωμολόγησε, καλῶς κεκρίσθαι τὴν δίαιταν.

Φυλάξας τὴν τελευταίαν ἡμέραν.] Ἔδει τοὺς τὰ κοινὰ διοικοῦντας εὐθύνας διδόναι τῶν πεπραγμένων. ἔθος δὲ ἦν ἐν ἡμέραις ῥηταῖς εἴς τινα τόπον συλλέγεσθαι τοὺς διαιτητάς, ἵνα ὁ βουλόμενος [4]) κατηγορεῖν αὐτῶν, ὡς ἢ [5]) πρὸς χάριν ἢ δι᾽ ἔχθραν δικασάντων ἢ διὰ κέρδος, ἑτοίμως ὑπακούσωσι καὶ ἀποκρίνωνται. ἐξιόντος δὲ τοῦ ἐνιαυτοῦ πρῶτον ἀπὸ τῶν διαιτητῶν ἤρχοντο· μικρότερα γὰρ ἦν τὰ ὑπ᾽ αὐτῶν διοικούμενα. ἦσαν γὰρ οἱ διαιτηταὶ τέσσαρες καὶ τετταράκοντα [6]) καθ᾽ ἑκάστην φυλήν. οὗτοι δὲ ἐν τῷ Σκιροφοριῶνι τὰς εὐθύνας ἐδίδοσαν, ὃς ἦν ἑνδέκατος [7]) μὴν παρ᾽ Ἀθηναίοις. Μειδίας οὖν κακούργως [8]) ἐφύλαξε τὴν τελευταίαν ἡμέραν τὴν τοῦ Σκιροφοριῶνος, ἣν τινὲς ἕνην καὶ νέαν, τινὲς δὲ νουμηνίαν νομίζουσι [9]), καὶ τότε ἧκεν. καὶ διὰ τοῦτο ἔνιοι τῶν διαιτητῶν οὐκ ἀπήντων ἐπὶ τὰς εὐθύνας, νομίζοντες ἐκβεβηκέναι τὸν μῆνα, ὅπερ ἔπαθε καὶ ὁ Στράτων. διὰ τοῦτο γὰρ αὐτὸν προλαβὼν ἀφελῆ καὶ ἀπράγμονα ἔφησεν, ἵνα ἀκόλουθον δόξῃ τὸ μὴ περιεργάζεσθαι τὸν τοιοῦτον, μηδὲ

1) καὶ om. in quibusdam libris significatur in Lut. 2) εἶναι W. 3) τὰ] Ita W., διὰ vulg., διὰ om. in nonnullis libris significatur in Lut. 4) Videtur scribendum τοῖς βουλομένοις. 5) ἢ] Ita W. de coni., καὶ vulg. 6) Malim cum Heraldo τετταράκοντα,, τέσσαρες καθ᾽ ἑκάστην. cf. Hudtwalk. l. c. p. 4. 7) Immo δωδέκατος, nisi Θαργηλιῶνι scribendum pro Σκιροφοριῶνι et Θαργηλιῶνος paullo post pro Σκιροφ., id quod rei magis consentaneum est. 8) πανούργως mg. Lut. 9) ὀνομάζουσι mg. Lut.

---

1) ἢ τὴν kr Aug. 2) ἢ τοῦ Σκιροφ. — γιγνομένην Reiskio, τὴν τοῦ — γιγνομένην Schaefero scholion sapere videntur. 3) γενομένην r.

δ' 1) οὐκ ἦλθε, πείσας τὸν πρυτανεύοντα δοῦναι τὴν 2) ψῆφον παρὰ 3) πάντας τοὺς 4) νόμους, κλητῆρα οὐδ' ὅντινοῦν 5) ἐπιγραψάμενος, κατηγορῶν 6) ἔρημον 7), οὐδενὸς παρόντος, ἐκβάλλει καὶ ἀτιμοῖ τὸν διαιτητήν· καὶ νῦν εἷς Ἀθηναίων, ὅτι Μειδίας ἔρημον ὦφλε δίκην ἁπάντων

ἀκριβῶς εἰδέναι, πότε μὲν ἔνη καὶ νέα, πότε δὲ νουμηνία. οὐκ οὖν δι' ἀφέλειαν 1) καὶ διὰ ἀπραγμοσύνην ἐδυστύχησεν.

Πείσας τὸν πρυτανεύοντα δοῦναι ψῆφον.] Ἵνα μὴ δόξῃ κατηγορεῖν πάσης τῆς βουλῆς, εἰς ἕνα, τὸν πρύτανιν, ἀνήγαγε τὴν μέμψιν. τί οὖν, εἰ κἀκεῖνος δικαίως ἐποίησεν; ὁ δὲ „πείσας" εἰπών, δωροδοκίαν 2) ᾐνίξατο. τὸ δὲ κατὰ τὸν πρύτανιν τοιοῦτον ἦν. ψῆφον ἐδίδου τοῖς βουλευταῖς, λέγων, „ὁ δεῖνα τῶν διαιτητῶν οὐκ ἀπήντησε, καίτοι κατήγορον ἔχων· τί οὖν ὑμῖν δοκεῖ περὶ αὐτοῦ"; καὶ οὕτως οἱ βουλευταὶ κατεψηφίζοντο. εἰσὶ δὲ ἄρχοντες τῆς βουλῆς οἱ πρυτάνεις.

Κλητῆρα οὐδ' ὅντιν' 3) ἐπιγραψάμενος.] Ὁ γὰρ διδοὺς τὴν γραφὴν προσέγραψεν, ὅτι κατηγορῶ τοῦδε, καὶ προκαλοῦμαι 4) αὐτὸν 5) διὰ τοῦ δεῖνος εἰς τὸ βουλευτήριον. ἵν' οὖν μὴ ὁ Στράτων κατηγορήσῃ τοῦ κλητῆρος, ὡς μὴ σημήναντος, διὰ τοῦτο οὐ προςέγραψε κλήτορα, βουλόμενος ἀπαράσκευον καὶ ἀφύλακτον λαβεῖν τὸν Στράτωνα. (Κλητὴρ 6) λέγεται ὁ καλῶν εἰς τὸ δικαστήριον πάντας· σημαίνει δὲ καὶ τὸν μάρτυρα ἡ λέξις. B.)

Καὶ νῦν εἷς Ἀθηναίων.] Παθητικῶς ἅμα καὶ πικρῶς εἶπε, παθητικῶς μέν, ἵνα οἱ Ἀθηναῖοι τὸν Ἀθηναῖον ἐλεήσωσι, πικρῶς δέ, ὅτι ὁ Ἀθηναῖος ὑπὸ τοῦ βαρβάρου καὶ ὑποβολιμαίου Μειδίου ἠτίμωται.

1) ὠφέλειαν Ald. Herv. 2) δωροδικίαν Herv. 3) ὅντινοῦν Lut. 4) Legendum προσκαλοῦμαι. 5) αὐτὸν] erat τοῦτον. 6) Hausta haec ex Suid. s. v.

1) ὅδ' Ald. Herv. Felic. et sic saepius. 2) τὴν om. ΥΩs. 3) περὶ Ald. Herv. 4) τοὺς om. Ⅱt. 5) ὅντιν' ΠΥΩs et schol. 6) Ita r, uti coniecerunt Iurin. Tayl. et receperunt Bu. Be., κατηγόρων vulgo, συνηγόρων ἔρημον coni. Reisk. 7) ἐρήμην γρ. FΣ.

ἀπεστέρηται τῶν ἐν τῇ πόλει καὶ καθάπαξ [1]) ἄτιμος γέγονε, καὶ οὔτε δίκην [2]) λαχεῖν ἀδικηθέντα οὔτε διαιτητὴν γενέσθαι Μειδίᾳ [3]) οὔθ᾽ ὅλως τὴν αὐτὴν ὁδὸν βαδίζειν, ὡς
88 ἔοικεν, ἔστ᾽ ἀσφαλές. δεῖ δὴ τοῦτο [4]) τὸ πρᾶγμα ὑμᾶς οὑ- 25 Bu.
τωσὶ σκέψασθαι καὶ λογίσασθαι τί ποτ᾽ ἐστὶν ὃ παθὼν Μειδίας οὕτως ὠμὸν τηλικαύτην ἐπεβούλευσε [5]) λαβεῖν
τῶν πεπραγμένων παρ᾽ ἀνδρὸς πολίτου δίκην· κἂν μὲν 543 R.
ᾖ τι δεινὸν ὡς ἀληθῶς [6]) καὶ ὑπερφυές, συγγνώμην ἔχειν [7])· ἐὰν δὲ μηδέν, θεάσασθε τὴν ἀσέλγειαν καὶ τὴν

---

*Καὶ καθάπαξ [1]) ἄτιμος γέγονεν.*] Ἀσαφὲς τὸ καθάπαξ [2]), ἔστι δὲ τοιοῦτο [3]). τῶν ἀτιμουμένων οἱ μὲν τὸ τρίτον μέρος τοῦ σώματος ἠτιμοῦντο, οἱ δὲ τὰ δύο [4]), οἱ δὲ ὁλόκληρον, οἳ [5]) οὐδενὸς μετεῖχον [6]) τῶν κοινῶν. τοῦτο οὖν ἐστι τὸ „καθάπαξ" ἀντὶ τοῦ ὁλοκλήρως [7]).

*Καὶ οὔτε λαχεῖν ἀδικηθέντα.*] Φθόνον αὐτῷ κινεῖ, καὶ ὥσπερ τινὰ τύραννον διὰ τῶν ὀνομάτων δείκνυσιν.

*Οὔθ᾽ ὅλως τὴν αὐτὴν ὁδόν.*] Ἂν ἴδῃς κατὰ τὴν ἀγορὰν Μειδίαν, φεῦγε· οὐδὲ [8]) γὰρ οὐδὲ τὴν θέαν ἕξεις ἀζήμιον.

*Δεῖ δὴ τοῦτο τὸ πρᾶγμα.*] Ἐπεξεργάζεται μειζόνως, ἵν᾽ αὐξήσας τοῦ Μειδίου τὴν ἀπόνοιαν εἰς [9]) ἔλεον ἀγάγῃ τοῦ Στράτωνος.

1) Ita Lut., καθάπερ vulg. 2) Ita Lut., καθάπερ vulg. 3) τοιοῦτον W., sed cf. Buttm. Gr. Gr. 2. 2. p. 414. 4) οἱ — δύο om. W. 5) οἳ] Hoc addidi de coni., οὗτοι δὲ W., etiam ipse de coni., καὶ οὗτοι Lut. 6) Ita W. et Lut., μετεῖχε vulg. 7) Ita W. et mg. Lut., ὁλόκληρος vulg., 8) οὐδὲ γὰρ οὐδὲ] cf. Bornemann ad Xenoph. Anab. 1. 8. 20. Cyrop. VII. 2. 20. Matth. p. 1228. 9) εἰς] τοὺς δικαστὰς εἰς Lut.

---

1) καθάπερ schol. 2) δίκην om. ΠΣΥΩs Pannon. schol., λαχεῖν δίκην Ftv et vulg. ante Be. 3) τῷ Μειδίᾳ Lut. 4) τοῦτον Felic. Herv. 2da. 5) τηλικαύτην ἐπεβούλευσε] ὥστε ἐπιβουλεῦσαι τηλικαύτην γρ. Σ. Alterutrum aut τηλικαύτην aut οὕτως ὠμὸν tollendum videtur Reiskio, idem maluit ὠμῶς. 6) ἀληθὲς Bav. 7) ἔχει ΥΩ.

ὠμότητα, ῇ καθ᾽ ἁπάντων [1]) χρῆται τῶν ἐντυγχανόντων.
89 Τί οὖν ἐσθ᾽ ὃ πέπονθεν [2]); μεγάλην νὴ Δί᾽ ὦφλε δίκην, b.
καὶ τοσαύτην ὥστ᾽ ἀποστερεῖσθαι τῶν ὄντων. Ἀλλὰ [3]) χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν. Πάνυ γε, ἀλλὰ δάκνει καὶ τοῦτο, φαίη τις ἄν [4]), ὅταν ἐκτίνειν ἀδίκως δέῃ, συνέβη δὲ ὑπερημέρῳ γενομένῳ λαθεῖν αὐτῷ διὰ τὸ ἀδικηθῆναι [5]). Ἀλλ᾽ αὐθημερὸν μὲν ᾔσθετο, ὃ καὶ [6]) μέγιστόν ἐστι τεκμήριον τοῦ μηδὲν ἠδικηκέναι τὸν ἄνθρωπον, δρα-

---

Μεγάλην νὴ Δί᾽ ὦφλεε [1]) δίκην.] Προςώπου πλάσις [2]), ὡς ὑπὲρ Μειδίου διαλεγομένου.

Ἀλλὰ χιλίων ἡ δίκη μόνον ἦν δραχμῶν.] Ψεύδη· πενταχοσίων γὰρ [3]) ἦν ἡ καταδίκη, ἡ [4]) πολλή.

Συνέβη δὲ [5]) ὑπερημέρῳ γενομένῳ.] Ἀσαφὲς εἶναι δοκεῖ τοῦτο, ἔστι δὲ [6]) τοιοῦτον. ἵνα [7]) ἀδικήσῃ, ἀπέκρυψε τὴν κυρίαν [8]) καὶ διὰ τοῦτο παρέλαθεν [9]) ὑπερήμερος γενόμενος. τοῦτο δὲ τὸ νόημα οὐκ ἀληθὲς εἶπε, διὸ καὶ τοῦτο τὸ μέρος ὠβέλισται [10]) παρὰ τῶν κριτικῶν καὶ ὡς ἀδιόρθωτον παραλέλειπται.

Ἀλλ᾽ αὐθημερὸν μὲν ᾔσθετο.] Εἰπὼν ὅτι λαθεῖν [11]) ληφθῇ [12]), ἐπήνεγκε τὴν λύσιν, ὅτι αὐθημερὸν ᾔσθετο, ὅτι ἐνέστηκεν ἡ κυρία.

1) ὤλειφε Ald. pr., ὦφλε Lut. 2) Ita W., πλάσιν vulg. 3) γὰρ] Ita Lut., οὐκ vulg. 4) ἡ addidi de coni. 5) δ᾽ Ald. pr. 6) δὲ] Ita W. et Lut., τὸ vulg. 7) ἵνα — γενόμενος in Bav. quoque extant. 8) ὁ Στράτων addit W. post ἀπέκρυψε, Lut. post κυρίαν. 9) παρέλαθεν] Ita coni. W. sc. ὁ Μειδίας, προέλαθεν vulg. etiam in Bav., ὁ Μειδίας ἔλαθεν Lut. 10) ὠβέληται Herv. 11) λαθεῖν] λαθὼν W. de coni., addens „durum λαθὼν ἀντὶ τοῦ ἀγνοήσας.", λαθεῖν αὐτῷ συνέβη ὑπερημέρῳ γενομένῳ Lut. 12) ληφθῇ om. Par. 1. Vitium manifestum est, neque probabilior ratio patet quam quae ab Lut. inita est, modo tollas simul ληφθῇ, nisi forte λαθὼν ἐλήφθη praestat.

---

1) κατὰ πάντων ἀεὶ χρῆται Aug. kr, κατὰ πάντων χρῆται t, καθ᾽ ἁπάντων ἀεὶ χρῆται Reisk. Bu. 2) Ita Be. pro πέπονθε. 3) οὐκ. ἀλλὰ Venet., οὐ. ἀλλὰ mg. Lessing. 4) φαίη τις ἂν suspecta Schaefero. 5) Wolf. coni. συνέβη δ᾽ αὐτῷ διὰ τὸ λαθεῖν ὑπερημέρῳ γενομένῳ ἀδικηθῆναι. 6) καὶ ὃ Π.

90 χμὴν δ᾽ οὐδέπω μίαν ἐκτέτικεν. ἀλλὰ μή πω τοῦτο. ἀλλὰ c. τὴν μὴ οὖσαν ἀντιλαχεῖν αὐτῷ ἐξῆν.[1]) δήπου καὶ πρὸς ἐμὲ τὸ πρᾶγμα καταστήσασθαι, πρὸς ὅνπερ ἐξ ἀρχῆς ἦν ἡ δίκη. ἀλλ᾽ οὐκ ἠβούλετο[2]), ἀλλ᾽ ἵνα μὴ[3]) Μειδίας ἀτίμητον ἀγωνίσηται δέκα μνῶν δίκην, πρὸς ἣν οὐκ ἀπήντα,

---

(Ἐκτέτικεν.] Ἀποδέδωκεν. B.)

Ἀλλὰ τὴν μὴ οὖσαν ἀντιλαχεῖν.] Εἰ μὴ ἐβούλετο, φησίν, ἐκτῖσαι τὰς χιλίας, ὤφειλε πρὸς ἐμὲ τὴν μὴ οὖσαν ἀντιλαχεῖν, τουτέστιν, ἀνάδικον μὲν ποιῆσαι τὴν δίαιταν, πρὸς ἐμὲ δὲ τὸν κύριον τοῦ πράγματος δικάσασθαι. ἐκαλεῖτο δὲ μὴ οὖσα δίκη ἀνάδικος[1]), ἢ[2]) ὅτι πρότερον δοκοῦσα εἶναι[3]) καὶ κεκυρῶσθαι, ὕστερον εἰς τὸ μὴ εἶναι περιΐστατο. ἐστὶν οὖν μὴ οὖσα ὄνομα δίκης, ἐν[4]) οἷς τις ἐξ ὑπαρχῆς ἐθέλει δικάσασθαι, τὴν ἐνεχθεῖσαν κατ᾽ αὐτοῦ πρότερον ψῆφον ἀναιρῶν. (Μὴ οὖσα ἡ δικαία[5]). B.)

Ἀλλ᾽ ἵνα μὴ Μειδίας.] Τὴν ὑπερηφανίαν[6]) σημαίνει τούτου.

Ἀτίμητον ἀγωνίσηται.] Ἄλλη ἀπολογία ὑπὲρ τοῦ Στράτωνος, ὅτι οὐκ αὐτὸς ὥρισε τὴν καταδίκην, ἀλλ᾽ ὁ νόμος εἶχεν αὐτήν. ἀτίμητον γὰρ καλοῦσιν, ἣν οὐχ ὁ δικαστὴς τιμᾷ ἀλλ᾽ ἐγγέγραπται τοῖς νόμοις. (Ἀτίμητος[7]) ἀγών, ἐφ᾽ ᾧ τίμημα ὡρισμένον οὐ κεῖται, ἀλλ᾽ οἱ δικάζοντες ἐτιμῶντο[8]), τί χρὴ παθεῖν ἢ ἀποτῖσαι. ὁ δὲ τιμητός, ᾧ πρόσεστιν ἀπὸ[9]) τῶν νόμων ὡρισμένον τίμημα. B.)

1) ἀνάδικος] Ita W., ἀντίδικος Ald. Herv., ἡ ἀνάδικος Lut. 2) ἢ tollendum videtur (Hudtw. p. 100, not. 47.), nisi quaedam exciderunt. 3) εἶναι] Singularis significatus huius verbi pro δεδικασμένη εἶναι. 4) ἐν οἷς] ἐν ᾗ coni. W., quo non est opus. 5) Legendum δίκη. 6) ὑπερηφανείαν Ald. Herv. 7) Hausta haec ex Suida s. v., sed falsam hanc esse interpretationem docui de lite Athen. p. 172. 8) Rectius ἐτίμων dixisset. 9) Sic etiam Suid., malis vero ὑπὸ.

---

1) ἐξῆν αὐτῷ Fkrtv et vulg. ante Bu. et Be. 2) Ita Reisk. ex Aug. Bu. et Be., ἐβούλετο vulg. et *Π*. 3) μὴ om. Aug.

δέον, καὶ εἰ μὲν ἠδίκηκε, δίκην δῷ [1]), εἰ δὲ μή, ἀποφύγῃ,
489 Bk. ἄτιμον [2]) Ἀθηναίων ἕνα [3]) εἶναι [4]) δεῖ [5]) "καὶ μήτε συγ-
γνώμης [6]) μήτε λόγου [7]) μήτε ἐπιεικείας μηδεμιᾶς τυ-
χεῖν [8]), ἃ καὶ τοῖς ὄντως ἀδικοῦσιν ἅπαντα [9]) ὑπάρχει.
91 Ἀλλ' ἐπειδή γε ἠτίμωσεν, ὃν ἐβουλήθη [10]), καὶ τοῦτ' ἐχα-
ρίσασθε [11]) αὐτῷ, καὶ τὴν ἀναιδῆ [12]) γνώμην, ᾗ ταῦτα
προαιρεῖται ποιεῖν, ἐνέπλησεν αὑτοῦ [13]), ἐκεῖνο [14]) ἐποί-
ησε, τὴν καταδίκην ἐκτέτικε [15]), δι' ἣν [16]) τὸν ἄνθρω-

---

*Καὶ εἰ μὲν ἠδίκηκεν.*] Ἵνα μὴ εἴποι, ὅτι τῆς ἐπιβουλῆς φανερᾶς οὔσης ἀπαντᾷν οὐκ [1]) ἠβουλήθη.

*Καὶ [2]) τοῦτ' ἐχαρίσασθε [3]) αὐτῷ.*] Φαίνεται γὰρ αὐτὸς τὸ πᾶν συσκευάσας [4]).

*Τὴν καταδίκην ἐκτέτικεν [5]).*] Εἰκότως οὐκ ἐδίδου, λέγων, ὅτι συνεχωρήθη αὐτὰ ὑπὸ τοῦ Στράτω-

1) οὐκ add. W. et Lut. 2) καὶ — συσκ. suo loco in sola Lut. leguntur; vulgo enim in schol. ad §. 90, 1. inter περιΐστατο et ἐστὶν interposita sunt. 3) ἐχαρίσατο Ald. Herv. 4) κατασκευάσας Lut. 5) εἰςτέτικεν Ald. Herv.

---

1) δῶ Ald. Herv. Felic. 2) αἴτιμον Ald. Herv. 3) ἕνεκα Ω, om. stv. 4) Ita Reisk. Bu. ex Aug.; idem retinuit Be. nulla notata scripturae discrepantia; εἶναι ἕνα vulg. ante Reisk. 5) ἔδει coni. Reisk. 6) συγνώμης Felic. 7) λόγου] ἐλέου vel ἐλέους γρ. Σ; quod huic comprehensioni aptius videtur. cf. Mid. 549, 3. τίνος συγγνώμης ἢ τίνος ἐλέου δικαίως τεύξεται παρ' ὑμῶν; 547, 7. οὐδεὶς — δίκαιος τυγχάνειν ἐλέου — οὐδὲ συγγνώμης. 581, 27. τίνος συγγνώμης ἢ τίνος ἐλέου τυχεῖν, ubi Σ λόγου pro ἐλέου. c. Aristocr. 794, 26. τίνος δὲ συγγνώμης ἢ ποίων ἐλέων — ἔτυχον, ibid. 794, 11. componuntur ἔλεον, συγγνώμην, φιλανθρωπίαν. Ceterum λόγου primum Reisk. scripsit, isque ex Aug. Bav., nam ante eum vulgatum erat aut, ut in Lut., τοῦ λ., aut μήτέ του λόγου ut in Ald. Herv. Felic. Wolf. 8) Ita Aug. Reisk. Bu. Be., τυχεῖν μηδεμιᾶς vulg. Ftv. 9) ἅπανθ' vulg. post Reisk. 10) ἠβουλήθη Dind. Π, ἐβούλετο Aug. r. 11) ἐχαρίσατο schol. in Ald. Herv. 12) ἀνανδῆ Ald. Herv. 13) Ita Fel. Herv. 2da Lut. Bu. Be., αὐτοῦ vulg. 14) ἐκεῖνό γ' Reisk. de coni. 15) ἐκτετίκει s. 16) ἧς ΠΥΩstv Felic. Paul. Herv. 2da.

ιον ἀπώλεσεν; οὐδὲ [1]) χαλκοῦν [2]) οὐδέ πω καὶ τήμερον· ἀλλὰ [3]) δίκην ἐξούλης [4]) ὑπομένει φεύγειν [5]). οὐκοῦν ὁ μὲν ἠτίμωται καὶ παραπόλωλεν, ὁ δ' οὐδ' ὁτιοῦν [6]) πέπονθεν, ἀλλ' ἄνω κάτω [7]) τοὺς νόμους, τοὺς διαιτητάς, 544 R.

νος [1]). ὁ δὲ ῥήτωρ [2]), βούλεται ἀτιμῶσαι [3]) τὸν διαιτητήν, οὐχ, ὅτι κακῶς ἔκρινεν [4]), ἀλλ' ὅτι κρινόμενος οὐκ ἀπήντησεν. οὐδὲν οὖν κωλύει κυρίαν εἶναι τὴν δίαιταν καὶ [5]) αὐτὸς ἐπίτιμος ἔμεινεν.

Οὐδὲ χαλκοῦν.] Ὀβολόν.

Ἀλλὰ καὶ δίκην ἐξούλης ὑπομένει.] Τοῦ Μειδίου μηδὲ τὴν καταδίκην κυρίαν λέγοντος, ὁ ῥήτωρ ὑφαρπάζων φησίν, ἔτι βούλεται περὶ ἐξούλης δικάσασθαι.

Οὐκοῦν ὁ μὲν ἠτίμωται καὶ παραπόλωλεν.] Ἐπειδὴ τοῖς ἀπολωλόσιν οὐχ οἷόν τε μετεῖναι τῶν ἐν τῷ βίῳ καλῶν, οἱ δὲ ἄτιμοι τῆς τῶν κοινῶν [6]) ἀπολαύσεως οὐ μετεῖχον, διὰ τοῦτο εἶπε „παραπόλωλε", τουτέστιν, παρέοικε τοῖς ἀπολωλόσιν, ἢ ἀντὶ τοῦ εὐθὺς ἀπέθανε, ζῆλον [7]) γὰρ μηδὲν ἔχων τῶν ζώντων.

1) ὅτι — Στράτωνος] „Tiresia coniectore est opus". W. Immo plana omnia, modo αὐτῷ pro αὐτὰ scribatur: merito mulctam daturum se negavit, quippe quam Demostheni gratificatum arbitrum contenderet. 2) Post ῥήτωρ Lut. addit φησὶ, quo, si vel maxime ea esset loci sententia, non opus esset; nam illud ipsum φησὶ subaudiri licet, cuius ellipsis exempla in Bosii libro extant satis et multa et idonea p. 632 sqq. p. 658 sqq. exemplaris Schaeferii. 3) ἠτιμῶσθαι W. de coni. 4) ἔκρηνεν Herv. 5) καὶ] δι' ἣν Lut., quo non persanatur locus; qui postulare videtur, εἰ καὶ ὁ διαιτήσας αὐτὴν αὐτὸς μὴ ἐπίτιμος ἔμεινεν. 6) τῶν κοινῶν μηδενὸς μετέχειν proprium est ἀτίμων; cf. me de bonis damn. p. 103. 7) ζηλωτόν γε W. de coni., in Lut. ζῆλον asterisco notatur.

1) οὐδὲ] Ita Be. cum Aug. et suorum plurimis, ἀλλ' οὐδὲ vulg. Ftv. 2) Ita Reisk. Bu. Be. Aug. Less. Par. 1., χαλκὸν vulg. Ftv. 3) ἀλλὰ καὶ Lut. Reisk. s. 4) ἐξουλῆς Σ hic et alibi. 5) φεύγειν Y, φεύγων Lessing. Ωs, probat Spald., reposuit Bu. 6) οὐδ' οὐδοτιοῦν Ald. Herv. Felic. 7) Ita Be., ἄνω καὶ κάτω Fkrtv et vulg. ante Be.

92 πάνθ᾽ 1), ὅσ᾽ 2) ἂν βούληται 3), στρέφει. καὶ τὴν μὲν 4)
κατὰ τοῦ διαιτητοῦ γνῶσιν, ἣν 5) ἀπρόσκλητον κατεσκεύα-
σεν, αὐτὸς 6) κυρίαν ἑαυτῷ 7) πεποίηται 8)· ἣν δ᾽ αὐ-
τὸς 9) ὦφλεν ἐμοὶ προσκληθείς, εἰδώς, οὐκ ἀπαντῶν, ἄκυ-
ρον ποιεῖ. καίτοι 10) εἰ παρὰ τῶν ἔρημον 11) καταδιαιτη- f.
σάντων αὐτοῦ 12) τηλικαύτην 13) δίκην οὗτος ἀξιοῖ λαμ-
βάνειν, τίνα 14) ὑμῖν προσήκει παρὰ τούτου λαβεῖν, τοῦ
φανερῶς 15) τοὺς ὑμετέρους 16) νόμους ἐφ᾽ ὕβρει παρα-
βαίνοντος; εἰ γὰρ ἀτιμία καὶ νόμων καὶ δικῶν καὶ πάντων
στέρησις ἐκείνου τῷ ἀδικήματος 17) προσήκουσά ἐστι δίκη,
93 τῆς γε ὕβρεως μικρὰ θάνατος 18) φαίνεται 19). Ἀλλὰ μὴν g.
ὡς ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς 20) μάρτυρας, καὶ
τὸν τῶν διαιτητῶν ἀνάγνωθι νόμον.

---

(Ἀπρόσκλητον.] Τὴν οὐ προσκεκλημένην. B.)

Κάλει μοι τούτων τοὺς μάρτυρας.] Τῶν εἰρημένων ἁπάντων, ὅτι ᾔδει τὴν κυρίαν, καὶ ὅτι τὰς πεντήκοντα δραχμὰς ἐδίδου τοῖς ἄρχουσιν.

Καὶ τὸν τῶν διαιτητῶν ἀνάγνωθι νόμον.] Ὅτι μένειν ἄχρι τῆς ἑσπέρας ὀφείλει ὁ 1) διαιτητής, μὴ φανέντος δὲ τοῦ φεύγοντος, καταδικάζειν, ἣν ὁ νόμος βούλεται

1) ὁ addidi ex W.

---

1) ἅπανθ᾽ kr. 2) Ita Be., ὅσα vulg. 3) ὅσα βούλεται Aug. kr. 4) μὲν om. Aug. kr. 5) ἣν] ἣν καὶ r. 6) αὐτὸς Felic. 7) Ita Reisk. Bu. ex Aug., retinuitque Be. nulla notata scripturae discrepantia, αὑτῷ Ald. Herv. Felic. Paul. Wolf., αὐτῷ Lut. 8) Ita Aug. Par. 1. et vulg. post Reisk., πεποίηκεν Fv et vulg. ante Reisk., utrumque exhibet Bav. 9) αὐτῷ s, sed hoc arbitror ad superiora pertinere. 10) καίτοι — λαμβάνειν Bekk. Anecd. 150, 7. 11) ἐρήμην ibid. 12) Ita Bu. Be. Di., αὑτοῦ vulg. 13) τηληκαύτην Herv. Felic.; haec paullo post ἀτημία. 14) τίν᾽ Be. 15) φανερῶς οὕτω τοὺς Ftv et vulg. ante Be. 16) ἡμετέρους r. 17) Ita Bu. Be. ex ΠΣΥΩs, τοῦ ἀδικήματος vulg. 18) Ita Aug. et Be., θ. ἔμοιγε φαίνεται vulg. et Ftv. 19) φαίνεται Ald., φαίνηται Herv. 20) τοὺς om. ΠΣΥΩs.

## ΜΑΡΤΥΡΕΣ[1]).

Νικόστρατος Μυῤῥινούσιος, Φανίας[2]) Ἀφιδναῖος[3]) οἴδαμεν[4]) Δημοσθένην, ᾧ μαρτυροῦμεν, καὶ Μειδίαν τὸν κρινόμενον ὑπὸ Δημοσθένους, ὅτ'[5]) αὐτῷ[6]) Δημοσθένης ἔλαχε τὴν τοῦ κακηγορίου[7]) δίκην, ἑλομένους διαιτητὴν[8]) Στράτωνα, καὶ ἐπεὶ ἧκεν ἡ κυρία τοῦ[9]) νόμου, οὐκ ἀπαντήσαντα Μειδίαν ἐπὶ τὴν δίαιταν ἀλλὰ καταλιπόντα. γενομένης δὲ h.
ἐρήμου[10]) κατὰ Μειδίου, ἐπιστάμεθα Μειδίαν πείθοντα τόν τε Στράτωνα τὸν διαιτητὴν καὶ ἡμᾶς[11]),
190 Bk. ὄντας ἐκείνοις[12]) τοῖς χρόνοις ἄρχοντας, ὅπως τὴν δίαιταν αὐτῷ[13]) ἀποδιαιτήσομεν[14]), καὶ διδόντα

---

καταδίκην. τοὺς μὲν οὖν μάρτυρας ἀπαιτεῖ τοῦ καὶ εἰδέναι τὴν κυρίαν τὸν Μειδίαν καὶ τοῦ παρακαλεῖν τοὺς ἄρχοντας λαβεῖν τὰς πεντήκοντα δραχμὰς καὶ τοὺς ὅρκους αὐτὸν ἀπαιτῆσαι πρὸς τοὺς ἄρχοντας [1]), καὶ τῶν τοιούτων. τὸν δὲ νόμον ἀναγινώσκει τῶν διαιτητῶν, ἵνα δείξῃ τοῖς δικάζουσιν, ὅτι τὸ ἐκ τῶν νόμων τίμημα κατεδίκασεν ὁ Στράτων καὶ ὅτι κατὰ τοὺς νόμους ἐποίησεν, ἐρήμην αὐτοῦ καταψηφισάμενος.

1) τοὺς ὅρκους — ἄρχοντας quorsum spectent, intelligere mihi videor; pertinere enim arbitror ad verba τὴν μὲν δίαιταν οὐκ ὤμοσεν — καὶ ἀνώμοτος ἀπηνέχθη., sed sana ea esse impetrare a me non possum ut credam.

---

1) μαρτυρία νόμος Σ, μαρτυρία ΠΥΩst Bav. Aug.; hic et testimonium et legem om. usque ad §. 95. κάλει δή, excepto titulo Νόμος §. 94, 2. 2) Harpocr. Phot. s. v., si quidem hunc intelligunt. 3) ἀφνιδαῖος Fstv et vulg. ante W. 4) οἴδαμεν — κρινόμενον Bekk. Anecd. 150, 11. 5) οὔτ' Ald. Herv., ᾧ τ' corrector Weimaranus. 6) αὐτῷ Felic. 7) Ita Ald. Felic. Paul. Wolf. Reisk. et posteriores omnes, κατηγορίου Bav. Hervag., κατηγόρου ΥΩstv Lut., κακηγόρου Π. 8) διαιτιτὴν Herv. 9) τοῦ] ἐκ τοῦ coni. Wolf. 10) ἐρήμης t. 11) ὑμᾶς Herv. Fel. 12) ἐν ἐκείνοις coni. Wolf. 13) αὐτῷ Be. Dind., αὐτοῦ coni. Wolf. 14) Ita ΠΣ Bu. Be., ἀποδιαιτήσωμεν vulg.

δραχμὰς πεντήκοντα. καὶ ἐπειδὴ οὐχ ὑπεμείναμεν, προσαπειλήσαντα ἡμῖν καὶ οὕτως ἀπαλλαγέντα. καὶ διὰ ταύτην τὴν αἰτίαν ἐπιστάμεθα Στράτωνα ὑπὸ Μειδίου καταβραβευθέντα καὶ παρὰ 1) πάντα τὰ δί- 545 R.
καια ἀτιμωθέντα.

94 Λέγε 2) δὴ καὶ 3) τὸν τῶν 4) διαιτητῶν νόμον. 1.

## ΝΟΜΟΣ.

Ἐὰν δέ τινες περὶ 5) συμβολαίων ἰδίων πρὸς ἀλλήλους ἀμφισβητῶσι καὶ βούλωνται διαιτητὴν ἑλέσθαι οντινοῦν, ἐξέστω αὐτοῖς αἱρεῖσθαι 6), ὃν ἂν βούλωνται διαιτητήν 7). ἐπειδὰν βούλωνται κατὰ κοινόν 8), μενέτωσαν ἐν τοῖς ὑπὸ τούτου διαγνωσθεῖσι, καὶ μη-

(Καταβραβευθέντα.] Οὐδαμοῦ ἀλλαχοῦ εὕρηται παρὰ τῷ Δημοσθένει. B.)

1) παρὰ om. Ald. (add. Lessing. Weimar.) Herv. 2) λέγε — νόμον om. kr. 3) καὶ om. Ω. 4) τῶν om. Yt. 5) περὶ] ὑπὸ v. 6) αἱρεῖσθαι om. Par. 1. 7) διαιτητὴν ἑλέσθαι ἐπειδὰν βούλωνται κατὰ FΠΣΥΩstv Bav.; in editis et reliquis libris Mss. ἑλέσθαι om., ἐπειδὰν δὲ βούλωνται Ital., βούλονται Felic. Paul. Herv. 2da., ἐπειδὰν δ' ἕλωνται Reisk. dè coni., idemque retinuerunt Bu. Be., quem, quod tacet de coniectura, hanc scripturam in libris kr, qui facere cum Aug. solent, repperisse arbitrere, sed vix repperit. 8) κατὰ κοινὸν sunt qui cum μενέτωσαν coniungant. Vide, scribendumne sit: ἐξέστω αὐτοῖς αἱρεῖσθαι, ὃν ἂν βούλωνται. ἐπειδὰν δὲ κατὰ κοινόν, με, ut ad ἐπειδὰν δὲ repetendum sit ἕλωνται, quod cum ignorarent librarii, temere addiderunt βούλωνται; saepissime enim numero breviloquentia quaedam in sententiis conditionalibus locum habet, veluti §. 138. ἴσως μὲν οὐκ ἂν ὑβρίζοι, εἰ δ' ἄρα sc. ὑβρίζοι. Neque diversae naturae sunt, quae exempla omissi post εἰ et εἴπερ verbi Matthiaeus habet Gr. Gr. §. 617., p. 1248 et 1250, extr.

κέτι καταφερέτωσαν[1] ἀπὸ[2] τούτου ἐφ' ἕτερον[3] δικαστήριον[4] ταὐτὰ ἐγκλήματα[5], ἀλλ' ἔστω τὰ κριθέντα ὑπὸ τοῦ[6] διαιτητοῦ κύρια.

95 Κάλει δὴ[7] καὶ τὸν Στράτωνα αὐτὸν τὸν τὰ[8] τοιαῦτα 26
πεπονθότα· ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ. Bu.

---

Κάλει δὴ καὶ τὸν Στράτωνα.] Φιλάνθρωπος ὁ Δημοσθένης, καὶ[1] τοῖς ἀτυχοῦσιν[2], ἐπειδὰν εὕρῃ καιρόν, πειρᾶται βοηθεῖν, ὡς καὶ ὑπὲρ Τιμάρχου πολλοὺς ἐποιήσατο λόγους ἐν τῷ κατ' Αἰσχίνου[3], καὶ νῦν ὑπὲρ τοῦ Στράτωνος, ἐπειδὴ καὶ δοκοῦσιν ἀμφότεροι δι' αὐτὸν ταύταις περιπεπτωκέναι ταῖς συμφοραῖς. ὅτε οὖν ἱκανῶς ἀπελογήσατο, βούλεται καὶ οἶκτον αὐτῷ κινῆσαι παρὰ τοῖς δικασταῖς. ἴσως γὰρ οἱ δικασταὶ καὶ ὅτι οὐδὲν ἀδικεῖ πεισθέντες, καὶ πρὸς τὸ πάθος ἐλεήσαντες, ἀποδώσουσιν αὐτῷ τὴν ἐπιτιμίαν. ἐν ταὐτῷ δὲ κίνησιν καὶ ὀργὴν κατὰ τοῦ Μειδίου ποιεῖ. τί οὖν ἐποίησε; βούλεται εἰςάγειν ὡς ἐπὶ σκηνῆς τὸ πρόςωπον τοῦ παθόντος. αἱ γὰρ ὄψεις τῶν δυςτυχῶν ἐξεκαλοῦντο[4] μᾶλλον ἢ οἱ τῶν ῥητόρων λόγοι. ὑπέμνησε δὲ διὰ τοῦ ὀνόματος τὴν συμφοράν.

Τὸν τὰ τοιαῦτα πεπονθότα.] Οἷα ἠκούσατε. προδιατέθεικε[5] δὲ ταῖς αὐξήσεσι τὸν ἀκροατήν, ἵνα μᾶλλον γένηται περιπαθὴς ὡς δεινοῦ πράγματος μέλλων γίγνεσθαι θεατής.

Ἑστάναι γὰρ ἐξέσται δήπουθεν αὐτῷ.] Ἀντιπίπτον ἔλυσε· κελεύει οὖν τὸν Στράτωνα εἰς δικαστήριον παρεῖναι, καὶ μετέχειν[6] ὧν[7] οἱ νόμοι κεκωλύκασιν. φησὶν οὖν, σιγάτω μὲν διὰ τὸν νόμον, τῆς στάσεως

1) ὃς καὶ Lut. 2) Ita W. pro ἄρχουσιν ex coni. 3) cf. de f. l. 341, 18. 413, 27 sq. 416, 18. 4) δυςτ. ἔλεον ἐκκαλοῦνται W. de coni. 5) Ita Ald. et Lut., προδιατέθηκε Herv. Wolf. 6) μετέχειν] Ita W. de coni., μὴ ἔχειν vulg. 7) ἃ mg. Lut.

---

με

1) Ita libri fere omnes, καταφερέτωσαν Ω, μεταφερέτωσαν Budaeus in Comment. L. Gr. p. 34 (p. 412) de coni. eamque recepit Be., ἀναφερέτωσαν γρ. mg. Lut. 2) ὑπὸ FΣ Bav. 3) ἑτέρου Ωs. 4) δικαστηρίου Ω. 5) ἐκκλήματα Σ. 6) ὑπό του Herv. 1. 2. 7) δὲ s. 8) τὰ om. Σ.

Οὗτος ὦ ἄνδρες Ἀθηναῖοι πένης μὲν ἴσως ἐστίν, οὐ πονηρὸς δέ γε. οὗτος μέντοι πολίτης ὤν, ἐστρατευμένος ἁπάσας τὰς ἐν ἡλικίᾳ στρατείας καὶ δεινὸν οὐδὲν εἰργασμέ-

---

δὲ αὐτῷ μετέχειν ἔξεστιν. οὐ γὰρ δὴ καὶ [1]) τούτου Μειδίας αὐτὸν ἀφαιρήσεται. οὐκ οὖν ὥςπερ ἄφωνον πρόςωπον ἐπὶ σκηνῆς βούλεται τὸ σχῆμα τὸν ἄνθρωπον μόνον δεικνύναι [2]) τοῦ πάθους [3]). δῆλον γάρ, ὅτι ὠφεληθήσεται τὰ μέγιστα. τίς μὲν γὰρ συγγενὴς θεασάμενος οὐκ ἐλεήσει τὸν συγγενῆ; τίς δὲ πολίτης τὸν πολίτην; τίς δὲ πρεσβύτης τὸν πρεσβύτην; τίς δὲ δημότης τὸν συνεκκλησιάσαντα [4]); ὠβέλισται [5]) δὲ κἀνταῦθα [6]). οὐδὲ ἐπιβῆναι γὰρ τοῖς τοιούτοις ἐφεῖται.

Πένης μὲν ἴσως ἐστίν.] Ὑποκριτοῦ χρείαν ἔσχεν, ἄφωνον πρόςωπον μιμούμενος. τοιαύτην δὲ τύχην αὐτοῦ κατηγόρησεν, ἧς καὶ οἱ δικασταὶ κοινωνοῦσιν. δῆλον γάρ, ὅτι οἱ πένητες τὸν πένητα ἐλεήσουσιν.

Οὐ πονηρὸς δέ γε.] Συμμίγνυσι τῷ πάθει τὴν ἀπολογίαν· εἰ γὰρ χρηστὸς ὢν δεινὰ πέπονθεν, οἴκτου καὶ συγγνώμης [7]) ἄξιος.

(Οὗτος μέντοι πολίτης ὤν.] Περὶ στρατείας. B.)

Πολίτης ὤν.] Ἐπειδὴ Μειδίας ὑποβολιμαῖος καὶ βάρβαρος, τοὺς πολίτας ἐκκαλεῖται [8]) τὸν πολίτην ἐλεεῖν.

Ἐστρατευμένος ἁπάσας.] Οὐκοῦν τὴν ἐπιβάλλουσαν πένησι [9]) λειτουργίαν ἐπλήρωσε· λειτουργία δὲ πένητος ἡ διὰ τοῦ σώματος εἰςφορά.

Ἁπάσας τὰς ἐν ἡλικίᾳ στρατείας.] Πρεσβύτης ὢν [10]) τοῖς πονηροῖς ταῦτα πέπονθε, καὶ παρὰ τοιαύτην ἡλικίαν, ἐν ᾗ καὶ τοὺς ὄντως ἀδικοῦντας αἰδεῖσθαι πεφύκαμεν. εἶτα καὶ εἰς τὰς στρατείας ἐπῄνεσε τὸν Στράτωνα, διότι μέλλει μετ' ὀλίγον καὶ εἰς δειλίαν καὶ εἰς ἀστρατείαν σκώπτειν Μειδίαν.

Καὶ δεινὸν οὐδὲν εἰργασμένος.] Ἐν τῇ κα-

1) καὶ] τὴν Ald. 2) δεικνύναι] Ita W., δεικνύντα vulg. 3) Post πάθους Lut. addit ἑστάναι. 4) συνεκκλησιάντα Herv. 5) ὠβέλησται Herv. 6) καὶ ταῦτα mg. Lut. 7) συγγνόμης Herv. 8) ἐκαλεῖται Ald. Herv. 9) πένουσι Herv. 10) ὢν] ὢν καὶ οὐ πονηρὸς W. de coni. qua locus non videtur integritati redditus.

νος, ἕστηκε νυνὶ [1]) σιωπῇ οὐ μόνον τῶν ἄλλων ἀγαθῶν τῶν κοινῶν ἀπεστερημένος, ἀλλὰ καὶ τοῦ φθέγξασθαι ἢ [2]) ὀδύρασθαι· καὶ οὐδ᾽ [3]) εἰ [4]) δίκαια ἢ ἄδικα πέπονθεν,
96 οὐδὲ ταῦτ᾽ ἔξεστιν αὐτῷ πρὸς ὑμᾶς εἰπεῖν. καὶ ταῦτα [5]) b.
πέπονθεν ὑπὸ Μειδίου καὶ [6]) τοῦ Μειδίου πλούτου καὶ τῆς ὑπερηφανίας παρὰ [7]) τὴν πενίαν καὶ [8]) ἐρημίαν καὶ τὸ

---

θόλου ἀναιρέσει καὶ τὸ παρὸν ἔδειξεν, ὅτι οὐδὲ περὶ τὴν δίαιταν οὐδὲν δεινὸν ἐποίησεν.

*Ἕστηκε νυνὶ σιωπῇ.*] Τοῦτο τοῖς δυστυχοῦσιν εἰς [1]) ἔλεον [2]).

*Καὶ οὐδ᾽ εἰ δίκαια ἢ ἄδικα πέπονθε.*] Δοκεῖ μὲν ἀμφιβόλως εἰρηκέναι, διότι κατέγνωσται, τὸ δὲ ἀληθὲς αἰνίττεται, ὡς εἴπερ ἐξῆν αὐτῷ ἀπολογήσασθαι [3]), ἔδειξεν ἂν ἑαυτὸν ἀδίκως κατεγνωσμένον. καὶ διὰ τοῦτο οὐδεμίαν μὲν ἀπολογίαν ἀπολέλοιπεν ὑπὲρ τοῦ Στράτωνος ὡς [4]) πολλῷ [5]) πλέον ἐξεῦρεν [6]), ἢ Στράτων ἂν ἠδυνήθη, δοθείσης ἀδείας αὐτῷ τοῦ λέγειν. ὅμως δὲ ἐπειδήπερ οἶδεν, ὅτι ἀδύνατόν ἐστιν αὐτῷ φθέγξασθαι, θαῤῥεῖ [7]), καὶ τὰς ὑπερβολὰς τῶν δικαίων αὐτῷ δίδωσιν.

*Καὶ ταῦτα πέπονθεν ὑπὸ Μειδίου.*] Τίνος; τοῦ ὑποβολιμαίου, τοῦ ἀστρατεύτου.

*Καὶ τοῦ Μειδίου πλούτου.*] Φθόνον αὐτῷ συνάγει διὰ τῆς ὑπομνήσεως τοῦ πλούτου· μισοῦσι γὰρ τοὺς τοιούτους οἱ δημόται διὰ τὴν πενίαν.

(*Παρά.*] Σημείωσαι. ἡ παρὰ ἀντὶ τῆς διά. B.)

*Καὶ τὸ τῶν πολλῶν εἷς εἶναι.*] Συγκρούει πρὸς τοὺς δικαστὰς τὸν Μειδίαν καὶ εἰς φόβον αὐτοὺς [8])

1) εἰς] συμφέρει εἰς Lut. 2) ἐλέουν Herv. 3) ἀπολογίσασθαι Ald. Herv. 4) ὡς] καὶ W. de coni. 5) πολλῷ Ald., πολὺ Herv. 6) ἐξευρεῖν ὁ στράτων ἂν ἠδ. mg. Lut., id quod loci cohaerentia postulare videtur. 7) Ita W. et Lut., θαῤῥεῖν vulg., θαῤῥῶν coni. W. 8) Ita W. de coni. et mg. Lut. cum γρ., αὐτὸν vulg.

---

1) νῦν k Bu. 2) φθ. καὶ ὀδ. Aug. kr Reisk. Bu. 3) οὔτ᾽ kr. 4) οὐδ᾽ εἰ] οὐ δή Bav. 5) καὶ ταῦτα — εἷς εἶναι Anecd. Bekk.
διὰ
163. 16. 6) Μειδίου καὶ om. s. 7) παρὰ Ω. 8) καὶ τὴν ἐρημ. Aug. kr Reisk. Bu.

τῶν πολλῶν εἷς εἶναι. καὶ εἰ μὲν παραβὰς τοὺς νόμους ἔλαβε
τὰς πεντήκοντα δραχμὰς παρ' αὐτοῦ, καὶ τὴν δίκην, ἣν
κατεδιῄτησεν [1]), ἀποδεδιῃτημένην ἀπέφηνεν, ἐπίτιμος ἂν
ἦν, καὶ οὐδὲν ἔχων κακὸν τῶν [2]) ἴσων μετεῖχε τοῖς ἄλλοις
ἡμῖν· ἐπειδὴ δὲ παρεῖδε πρὸς τὰ δίκαια Μειδίαν, καὶ τοὺς c.
νόμους μᾶλλον ἔδεισε τῶν ἀπειλῶν τῶν τούτου, "τηνι- 546
491 καῦτα [3]) τηλικαύτῃ καὶ τοιαύτῃ "συμφορᾷ περιπέπτω- R.
Bk. 97 κεν [4]) ὑπὸ τούτου. εἶθ' ὑμεῖς τὸν οὕτως ὠμόν, τὸν οὕτως d.

---

καθίστησιν. εἰ γὰρ Στράτων διὰ τὴν πενίαν ἠτιμώθη, καὶ ὑμεῖς πένητες [1]), καὶ εἰς ὑμᾶς ὁρμήσει. καὶ [2]) ταῦτα πέπονθε διὰ τὸ εἶναι τῶν πολλῶν εἷς, ἐλεύσεται δὲ [3]) καὶ ἐφ' ὑμᾶς τὸ δεινόν, δι' ὧν τυραννίδα αὐτοῖς αἰνίττεται τοῦ Μειδίου [4]).

*Καὶ εἰ μὲν παραβὰς τοὺς νόμους.*] Μισθὸν δικαιοσύνης ἀτιμίαν ἐκομίσατο. καὶ οἱ μὲν ἄλλοι παραβαίνοντες τοὺς νόμους κολάζονται, Στράτων δὲ πεισθεὶς τοῖς νόμοις [5]) ἠτιμώθη.

*Καὶ τηλικαύτῃ συμφορᾷ περιπέπτωκεν ὑπὸ τούτου.*] Μειδίας οὖν ἐστιν ὁ ἀτιμώσας. οὐκοῦν ἐὰν εἰς τὴν ἀρχαίαν τύχην αὐτὸν ἐπαγάγητε [6]), οὐ τὴν ψῆφον τῆς βουλῆς [7]) ἀκυρώσετε, ἀλλ' ἑνὸς ἀνδρὸς Μειδίου τὴν βουλὴν [8]) ἀνατρέψετε.

*Εἶθ' ὑμεῖς τὸν οὕτως ὠμόν.*] Ἱκανὸν ἔλεον συνάξας τῷ Στράτωνι βούλεται καὶ τὸν Μειδίου ἔλεον ἐκβαλεῖν. αἰτιῶνται δέ τινες τὸν ῥήτορα, ὅτι δεύτερον ἐχρῆ-

1) πένητες] πένητες κινδυνεύετε ὑπὸ Μειδίου ἀτιμοῦσθαι Lut. 2) καὶ] καὶ εἰ Lut. 3) δὲ om. Lut. 4) Ita Lut., τὸν Μειδίαν vulg., δι' ὧν τύραννον εἶναι αἰνίττεται τὸν Μειδίαν W. de coni. 5) ἀνόμοις Ald. Herv. 6) ἐπαναγάγητε Lut., ἐπανάγητε coni. W. 7) Scilicet persuaserat sibi schol., iudicium de arbitro, qui ob rem iudicandam donis corrumpi se passus esset, in senatu quingentorum esse habitum, id, quod secus esse alibi a nobis demonstratum est. 8) βουλὴν] Malim ἐπιβουλήν.

---

1) καταδιῄτηκεν tv et corr. fortasse F. 2) τῶν om. r. 3) τηνικαῦτα — τούτου in mg. rc. F. 4) περιπ. ἀδίκως ὑπὸ kr Aug. Barocc. Reisk.

ἀγνώμονα, τὸν τηλικαύτας δίκας λαμβάνοντα ὧν αὐτὸς ἠδικῆσθαί φησι μόνον (οὐ γὰρ ἠδίκητό γε), τοῦτον ὑβρίζοντα λαβόντες [1]) εἵς τινα τῶν πολιτῶν ἀφήσετε, καὶ μήθ' [2]) ἑορτῆς μήτε ἱερῶν μήτε νόμου [3]) μήτ' ἄλλου μη-
98 δενὸς πρόνοιαν ποιούμενον [4]); οὐ καταψηφιεῖσθε; οὐ πα-
ράδειγμα [5]) ποιήσετε; καὶ τί φήσετε ὦ ἄνδρες δικασταί; e.
καὶ [6]) τίνα ὦ πρὸς τῶν θεῶν ἕξετε [7]) εἰπεῖν [8]) πρόφασιν δικαίαν ἢ καλήν; ὅτι νὴ Δία ἀσελγής ἐστι καὶ βδελυρός· ταῦτα γάρ ἐστι [9]) τἀληθῆ [10])· ἀλλὰ μισεῖν ὀφείλετε [11])

---

σατο τῇ τοῦ ἐλέου ἐκβολῇ. κέχρηται γὰρ αὐτῇ καὶ πρὸς τοῖς ἐπιλόγοις, ἐν οἷς σύγκρισιν ἔχει τοῦ Μειδίου πρὸς αὐτὸν Δημοσθένην. τὰ γὰρ ἐκείνου παιδία τῇ ἑαυτοῦ ἀπαιδίᾳ [1]) ἀντιτίθησι, καὶ τὰ ἐκείνου δάκρυα οἷς αὐτὸς πέπονθε. νυνὶ δὲ οὐ πρὸς ἑαυτὸν ποιεῖται τὴν σύγκρισιν ἀλλὰ πρὸς Στράτωνα καὶ τὰ ἐκείνου παιδία. οὐδὲν οὖν κωλύει καὶ δεύτερον χρῆσθαι τῇ τοῦ ἐλέου ἐκβολῇ, ἐπειδὰν μέλλῃ τις ἐπὶ διαφόρων αὐτῇ [2]) προσώπων κεχρῆσθαι.

Ὧν αὐτὸς ἠδικῆσθαί [3]) φησι μόνον.] Δοκεῖ μὲν καταδεδικάσθαι χιλίων δραχμῶν, τῷ δὲ μηδὲν ἐκτῖσαι φαίνεται μηδὲν ἠδικημένος.

Καὶ μήτε [5]) ἑορτῆς.] Ἐν τῷ καθόλου ἐκφέρων παραλαμβάνει [6]) καὶ τὸ καθ' αὐτόν.

1) Ita W. de coni., τῆς ἑαυτοῦ παιδείας vulg., τῇ ἑαυτοῦ παιδείᾳ Lut. 2) Ita W. et mg. Lut., αὐτοῦ Herv. Lut., αὐτῷ Ald. 3) ἠδικεῖσθαι Ald. Herv. 5) μήθ' Lut. 6) Malim ἓν τῶν καθόλου ἐκφέρων aut ἐν τῷ κ. ἐκφέρειν περιλαμβάνει.

---

1) λαμβάνοντες Aug. r. 2) Schaef. desiderat οὔθ' — οὔτε —
ον
οὔτε — οὔτ' — οὐδενὸς. 3) νόμων Aug., νόμου F. 4) καὶ μήθ' ἑορτῆς — πρόνοιαν ποιούμενον Schaefero suppositicia videntur. καὶ — ποιουμένου coni. Bu., ποιούμενοι Lamb. 5) παρ. τοῖς ἄλλοις ποιήσετε Aug. Barocc. kr Reisk. 6) καὶ recepi ex ΠΣΥΩs Felic. Herv. 2da et Lut., om. Bavar. Aug. et reliqui Mss. Bekkeri Ald. Herv. Wolf. Reisk. et reliqui editores deinceps omnes. 7) ἕξετ' Be. 8) ἕξετ' εἰπεῖν] ἐξειπεῖν s. 9) ἐστιν kr Aug. 10) ἀληθῆ tv. 11) ὀφείλετ' Be.

ὦ 1) ἄνδρες Ἀθηναῖοι 2) δήπου 3) τοὺς τοιούτους μᾶλλον
ἢ σώζειν. ἀλλ᾽ ὅτι πλούσιός ἐστιν 4). ἀλλὰ τοῦτό γε τῆς
ὕβρεως αὐτοῦ σχεδὸν αἴτιον εὑρήσετε ὄν, ὥστ᾽ ἀφελεῖν τὴν
ἀφορμήν, δι᾽ ἣν ὑβρίζει 5), προςῆκε 6) μᾶλλον ἢ σῶσαι
διὰ ταύτην· τὸ γὰρ χρημάτων πολλῶν θρασὺν καὶ βδελυ-
ρὸν καὶ τοιοῦτον ἄνθρωπον ἐᾶν 7) εἶναι κύριον, ἀφορμήν
99 ἐστιν ἐφ᾽ ὑμᾶς αὐτοὺς δεδωκέναι. τί οὖν ὑπόλοιπον; ἐλεῆ- 27
σαι, νὴ Δία· παιδία γὰρ παραστήσεται, καὶ κλαιήσει, καὶ Bu.
τούτοις αὐτὸν 8) ἐξαιτήσεται 9)· τοῦτο γὰρ λοιπόν 10).
ἀλλ᾽ ἴστε δήπου 11) [τοῦθ᾽ 12)], ὅτι τοὺς ἀδίκως τι 13)
πάσχοντας, ὃ μὴ δυνήσονται φέρειν 14), ἐλεεῖν προςήκει,
οὐ τοὺς ὧν πεποιήκασι δεινῶν δίκην διδόντας. καὶ τίς ἂν b.
ταῦτ᾽ ἐλεήσειε δικαίως, ὁρῶν τὰ τοῦδε οὐκ ἐλεηθέντα

---

Τὸ γὰρ χρημάτων πολλῶν.] Πάλιν ἐνταῦθα τὸν τύραννον ὑποβάλλει· τίνα γὰρ μᾶλλον εἰκὸς γενήσεσθαι τύραννον ἢ τὸν ἔχοντα χρήματα πολλά, θρασὺν δὲ ὄντα καὶ βδελυρόν;

Ἐλεῆσαι νὴ Δία.] Δοκεῖ νῦν ὥςπερ ἀνδρικῶς 1) ἐπὶ τοῦ Στράτωνος ἀντεξετάζειν τὸν ἔλεον.

Ὁρῶν τὰ τοῦδε οὐκ ἐλεηθέντα.] Πρόδηλον, ὅτι 2) οὐ πρὸς ἑαυτὸν νῦν τὴν τοῦ ἐλέου ποιεῖται ἐκβολὴν ἀλλὰ πρὸς Στράτωνα καὶ τὰ τούτου παιδία.

1) His vitii manifestis non habeo certam qua medear rationem. 2) ὅτε Herv.

---

1) ὦ om. ΠΩs. 2) Ἀθηναῖοι] Ita Be. ex libris longe plurimis et mg. Lut., δικασταὶ k et editi ante Be. omnes. 3) Ita Par. 1. Felic. Herv. 2da, Be., δήπου post τοιούτους ponunt Fkr, om. tv et vulg. 4) ἐστι Ald. 5) ὑβρίζειν Ald. Herv. 1ma rt. 6) προςήκει kr, probat Schaef. 7) ἂν Aug. — ἐᾶν εἶναι] ἀνεῖναι r. 8) αὐτὸν Ald. 9) ἐξετήσεται Herv. 1ma et 2da. Felic. 10) ὑπόλοιπον Aug. kr Reisk. 11) που r Aug. 12) τοῦθ᾽ vulg. ante Be. et Fkrtv, τοῦθ᾽ om. Be. cum libris optimis. 13) τι κακὸν Ftv et vulg. ante Bu. Be. 14) φέρειν] ἀφαιρεῖν γρ. Σ.

ὑπὸ 1) τούτου, ἃ τῇ τοῦ πατρὸς συμφορᾷ χωρὶς τῶν ἄλλων κακῶν οὐδ' 2) ἐπικουρίαν ἐνοῦσαν ὁρᾷ 3); οὐ γάρ ἐστιν ὄφλημα, ὅ τι χρὴ καταθέντα ἐπίτιμον γενέσθαι τουτονί 4), ἀλλ' ἁπλῶς οὕτως 5) ἠτίμωται 6) τῇ ῥύμῃ τῆς ὀργῆς καὶ 547
00 τῆς ὕβρεως τῆς 7) Μειδίου. τίς οὖν ὑβρίζων παύσεται, καὶ c. R.
92 δι' ἃ ταῦτα 8) ποιεῖ χρήματα ἀφαιρεθήσεται, εἰ τοῦ-
k.

---

*Χωρὶς τῶν ἄλλων κακῶν.*] Ὁ νοῦς οὗτος. ἡ συμφορὰ τοῦ Στράτωνος, τουτέστιν ἡ ἀτιμία, χωρὶς τῶν ἄλλων κακῶν, λέγει δὲ τῆς πενίας, ἀπορίαν 1) ἐπιδέχεται. οὐ γάρ ἐστιν ἐξ ὀφειλήματος 2) ἄτιμος, ἵνα δανεισάμενοι 3) ἢ μισθώσαντες αὐτοὺς 4) καταθῶσι τὸ χρέος καὶ ποιήσωσιν ἐπίτιμον.

*Οὐ γάρ ἐστιν ὄφλημα.*] Εἰ μὲν ἐξῆν χρήματα κατατιθέντα ἀπαλλάξαι τῆς ἀτιμίας τὸν ἄνθρωπον, οὐκ ἂν ὤκνησε 5) καταβαλεῖν. μετήνεγκε δὲ τὸν λόγον ἐπὶ τοὺς παῖδας τοῦ Στράτωνος, ἵνα μᾶλλον ἐλεεινότερον 6) φανῇ, ὅτι καίτοι πένητος παῖδες ὄντες οὐκ ἐφείσαντο 7) καταβαλεῖν. οὐκοῦν ἐπειδὴ οὐχ οἷόν τε χρήματα δόντα ἐπαναγαγεῖν 8) εἰς τὴν ἀρχαίαν τύχην τὸν ἄνθρωπον, ὑμέτερον λοιπόν 9), ἐλεήσαντας ἀφεῖναι.

*Καὶ δι' ἃ ταῦτα ποιεῖ χρήματα ἀφαιρεθῆναι 10).*] Τὸ μὲν ῥητὸν ἀσαφές, ἐστὶ δὲ τοιοῦτον. ἐὰν Μειδίαν ἀπολύσητε τοιαῦτα πράξαντα, τίς πώποτε ἄλλος ἀφαιρεθήσεται χρημάτων ὑφ' 11) ὑμῶν, δι' ἃ πλημμελεῖ; πάντες γὰρ οἱ πλούσιοι τοῖς χρήμασιν ἐπαιρόμενοι πλημμε-

1) ἐπικουρίαν οὐκ ἐπιδέχ. W. de coni. 2) Debebat ὀφλήματος dicere; subiectum eorum quae sequuntur est οἱ παῖδες, quod repetendum ex τοῖς παιδίοις. 3) δαν.] οἱ παῖδες αὐτοῦ δαν. Lut. 4) Erat αὐτούς. 5) Malim ὤκνησαν, quamquam et ὤκνησε ferri potest. 6) ἐλεεινότερος Lut. 7) Deesse videtur ἄν. 8) Ita W. et Lut., ἐπαγαγεῖν Ald. Herv. 9) ἔργον mg. Lut. 10) ἀφαιρεθήσεται Lut. 11) Ita W., ἀφ' vulg.

---

ὑπὸ

1) παρὰ k. 2) οὐδ' om. r. 3) ὁρῶ γρ. Σ. 4) Ita Reisk. ex Aug. retinuitque Be., qui quod antea vulgatum et a Bu. revocatum erat τοῦτον tantum in Ftv repperit. 5) οὗτος Σ r. 6) ἠτίμωται — Μειδίου Tiber. p. 55. 7) τῆς Μ.] Ita Aug. Bav. Reisk. Be. Bu., τοῦ Μ. vulg. et s, τῆς τοῦ Μ. Felic. Paul. Herv. 2da 8) δι' ἃ ταῦτα] διὰ ταῦθ' ἃ kr.

τον 1) ὥςπερ δεινὰ πάσχοντα ἐλεήσετε; εἰ δέ τις πένης 2) μηδὲν 3) ἠδικηκὼς ταῖς ἐσχάταις συμφοραῖς ἀδίκως ὑπὸ τούτου περιπέπτωκε, τούτῳ δ' οὐδὲ 4) συνοργισθήσεσθε; μηδαμῶς· οὐδεὶς γάρ ἐστι δίκαιος τυγχάνειν ἐλέου τῶν μηδένα ἐλεούντων οὐδὲ συγγνώμης τῶν ἀσυγγνωμόνων.
101 ἐγὼ γὰρ οἶμαι 5) πάντας 6) ἀνθρώπους φέρειν ἀξιοῦν 7) d.

---

λοῦσιν. εἰ γὰρ Μειδίαν τὸν ὑπερβαλλόμενον πάντας οὐκ ἀφαιρήσεσθε τῶν χρημάτων, τίνος ἄλλου ἀδικοῦντος 1) ἀφαιρήσεσθε χρήματα, δι' ἃ καὶ θρασύνεται;

Οὐδεὶς γάρ ἐστι δίκαιος.] Καθόλου τὴν συγγνώμην 2) εἰςενεγκὼν δείκνυσιν, ὅτι οὐ διὰ τὴν ἔχθραν τὴν πρὸς Μειδίαν κωλύει τὸν ἔλεον, ἀλλὰ δι' αὐτὸ τὸ δίκαιον.

Ἐγὼ γάρ οἶμαι πάντας ἀνθρώπους.] Οὗτοί εἰσιν οἱ ἐπίλογοι τοῦ κατὰ τὸν Στράτωνα διηγήματος, ἐν οἷς ἐκβάλλει τὸν ἔλεον τοῦ Μειδίου. τηλικούτου γὰρ ὄντος τοῦ διηγήματος, εὗρε καιρὸν καὶ 3) τῇ τοῦ ἐλέου ἐκβολῇ χρήσασθαι. καθόλου γὰρ ἐν παντὶ παθητικῷ ζητήματι, καὶ μάλιστα, ἐὰν ἴσον 4) ᾖ τὸ κρινόμενον καὶ τὸ πρόσωπον τὸ φεῦγον, χρηστέον τῇ τοῦ ἐλέου ἐκβολῇ. οὐ δεῖ δὲ θαυμάζειν, εἰ τοῖς αὐτοῖς ῥήμασι καὶ ἐν τῇ ἄλλῃ τοῦ ἐλέου ἐκβολῇ ἐχρήσατο. σύνηθες γὰρ τοῦτο ποιεῖν τοῖς παλαιοῖς, καὶ αὐτὸς δὲ πεποίηκεν αὐτὸ καὶ ἐν τοῖς Φιλιππικοῖς καὶ ἐν τῷ κατὰ Τιμοκράτους, καὶ Ἰσοκράτης ὁμοίως ἔν τε τῷ Παναθηναϊκῷ καὶ ἐν τῷ περὶ ἀντιδόσεως.

(Ἐγὼ γὰρ οἶμαι πάντας ἀνθρώπους.] Ἐπίλογοι τοῦ κατὰ τὸν Στράτωνα διηγήματος. B.)

1) Ita W. de coni., δοκοῦντος vulg. 2) συγνώμην Ald. Herv. 3) καὶ] καὶ τοῦ Lut. 4) Haec corrupta videntur.

---

1) τοῦτον] Ita Aug. Bav. Be., τοῦτον μὲν vulg. ante Be. et F. sed non vera arbitror aut R. de Bav. aut Be. de F retulisse. 2) πένης ὢν Aug. krt Reisk. Bu., πένης om. Felic. Herv. 2da Paul. 3) μηδὲν] μὲν Bav. F. 4) δ' οὐδὲ Be. ex ΠΣΥΩsv, δὲ οὐ Aug. Bav. Fkr, δ' οὐ καὶ t, δὲ μὴ vulg., δὲ οὐ μὴ Ald., δὴ μὴ coni. Markl. 5) ἡγοῦμαι kr Aug., οἴομαι Reisk., ni fallor, de coni. 6) πάντας τοὺς ἀνθρ. Ω. 7) ἄξιον εἶναι mg. Lut., ἄξιον coni. Iurin., ἀξιοῦν uncis inclusit Reisk.

παρ᾽ αὐτῶν [1]) εἰς τὸν βίον αὐτοῖς ἔρανον [2]) παρὰ πάνθ᾽, ὅσα πράττουσιν, [οὐ [3]) τοῦτον μόνον, ὃν συλλέγουσι καὶ οὗ [4]) πληρωταὶ γίγνονταί τινες, ἀλλὰ καὶ ἄλλον.] οἷον c. ἐγώ τις [5]) οὑτοσὶ μέτριος πρὸς ἅπαντάς εἰμι [6]), ἐλεήμων, εὖ ποιῶν πολλούς [7])· ἅπασι προσήκει τῷ τοιούτῳ ταὐτὰ [8]) εἰσφέρειν, ἐάν που [9]) καιρὸς ἢ χρεία παραστῇ. ἕτερος οὑτοσί τις [10]) βίαιος [11]), οὐδένα οὔτ᾽ [12]) ἐλεῶν οὔθ᾽ ὅλως ἄνθρωπον ἡγούμενος [13])· τούτῳ τὰς ὁμοίας [14]) φορὰς παρ᾽ ἑκάστου δίκαιον ὑπάρχειν. σὺ δὴ [15]) πληρωτὴς τοι-

---

*Οἷον ἐγώ τις οὑτοσὶ μέτριος* [1]).] Χαρακτῆρα βίου σώφρονος καὶ ὀρθωτάτου [2]) ἑαυτὸν ὑποτίθεται, Μειδίαν δὲ τοὐναντίον [3]).

1) Ita Ald. Herv., *οἷον ἐγώ. τις οὑτοσὶ; μέτριος* W., *οἷον ἐγώ τις οὑτοσί; μέτριος* Lut. 2) *ὀρθοτάτου* Lut., *ὀρθώτατον* vulg. 3) Legendum *τοὐναντίου*.

---

λωλεν [1]), ἡγούμενος τὸν Ἀρίσταρχον καὶ πεπιστευκὼς τοῖς
τῶν αἰτιασαμένων λόγοις ταῦτ᾽ ἔλεγε, χρῆν [2]) μὲν οὐδ᾽
118 οὕτω [3])· "μετρία γὰρ δίκη [4]) παρὰ τῶν φίλων ἐστίν, ἄν 553
τι δοκῶσι πεποιηκέναι δεινόν, μηκέτι τῆς λοιπῆς φιλίας R.
κοινωνεῖν, τὸ δὲ τιμωρεῖσθαι καὶ ἐπεξιέναι τοῖς πεπονθόσι
καὶ τοῖς ἐχθροῖς παραλείπεται [5])· ὅμως δ᾽ ἔστω τούτῳ [6]) b.

---

βολον τὸ πρᾶγμα καθίστησιν, ὅταν ὡς ἀπορῶν λέγῃ, πότερον ἐνόμιζεν αὐτὸν δεδρακέναι, ἢ οὐ πεπιστευκὼς [1]) τοῖς τῶν αἰτιασαμένων λόγοις. πανταχόθεν οὖν ἠμαύρωσε τὴν φήμην. εἰ γὰρ ἀκοὴν μαρτυρεῖν οὐκ ἔξεστιν [2]), οὗτος δὲ [3]) ἀκοῆς κατηγόρει (τοῖς γὰρ λόγοις [4]) τῶν αἰτιωμένων ἐπίστευσεν, οὐ τῇ ὄψει τῶν θεασαμένων), οὐκοῦν παντάπασιν ἕωλον τὸ ἔγκλημα.

Καὶ [5]) μηκέτι τῆς λοιπῆς φιλίας.] Ὁμοῦ καὶ ἀπελογήσατο ὑπὲρ αὐτοῦ [6]), καὶ τῷ Μειδίᾳ τὸ ἔγκλημα περιέτρεψεν. αὐτὸς μὲν γὰρ τὸ ἀντιπῖπτον ἔλυσε, „διὰ τί γὰρ οὐ κατηγόρεις [7]) τοῦ Ἀριστάρχου, εἴπερ [8]) μὴ συνήδεις“; ὁ δέ φησιν, ὅτι „τὴν ἁρμόττουσαν φίλῳ δίκην ἔλαβον· ἀπέστην [9]) γὰρ αὐτοῦ τῆς λοιπῆς φιλίας“. τὸν δὲ Μειδίαν δείκνυσι νῦν μὲν ὡς ἐχθροῦ κατηγοροῦντα, νῦν δὲ ὡς φίλῳ συνόντα μετὰ τὴν φήμην.

Τοῖς πεπονθόσι καὶ τοῖς ἐχθροῖς.] Οὐκοῦν πρὸς τοῖς ἄλλοις καὶ φιλοπράγμων, ὅτι ἃ μόνοις τοῖς ἠδικημένοις ἔξεστι, ταῦτα μηδὲν [10]) πεπονθὼς ἔπραττεν.

1) Nisi quaedam exciderunt, veluti ταῦτ᾽ ἔλεγεν vel ἦν, desideratur πεπίστευκεν. 2) cf. Schoemann. de lit. Athen. p. 669. 3) δὲ] Desideratur δ᾽ ἐξ ἀκοῆς. 4) λόγοις] Ita Lut., λοιποῖς vulg. 5) καὶ om. Lut. 6) Ita W., αὐτοῦ vulg. 7) Ita W., κατηγορεῖς vulg. 8) εἴπερ μὴ συνήδ.] εἴπερ αὐτῷ συνήδεις τῷ Νικόδημον ἀποκτείναντι Lut. 9) Ita W. de coni., ἀπέστη vulg. 10) Ita W. de coni., μηδὲ vulg.

---

1) ἀπολωλέναι Bav. a nov. man. 2) ἐχρῆν maluit Iurin. 3) οὕτως Be. 4) δίκην Ald. post. Herv. 1ma. 5) Ita Be. ex ΠΣΥΩs, ὑπολείπεται kr Aug. Par. 5., καταλείπεται vulg. ante Be., utrumque κατα- et ὑπολείπ. Bavar. 6) τοῦτό k indices Ald. Herv., τούτου maluit Iurin., τούτων Markl.

γὲ συγγνώμη. εἰ δὲ λαλῶν [1]) μὲν καὶ ὁμωρόφιος γιγνόμενος [2]) ὡς οὐδὲν εἰργασμένῳ [3]) φανήσεται, λέγων δὲ καὶ καταιτιώμενος ταῦθ' ἕνεκα τοῦ συκοφαντεῖν ἐμέ, πῶς οὐ δεκάκις, μᾶλλον δὲ μυριάκις δίκαιός ἐστ' ἀπολωλέναι [4]); ἀλλὰ c.
19 μὴν ὡς ἀληθῆ λέγω, καὶ τῇ [5]) προτεραίᾳ, ὅτε [6]) ταῦτ' ἔλεγεν, εἰςεληλύθει καὶ διείλεκτο ἐκείνῳ, τῇ δ' [7]) ὑστεραίᾳ πάλιν [8]) (τοῦτο [9]) γάρ, τοῦτο οὐκ ἔχον [10]) ἐστὶν ὑπερβολὴν ἀκαθαρσίας ἄνδρες Ἀθηναῖοι) εἰςελθὼν οἴκαδε ὡς ἐκεῖνον καὶ ἐφεξῆς οὑτωσὶ καθεζόμενος [11]), τὴν δεξιὰν

---

*Εἰ δὲ ἄλλων* [1]) *μὲν καὶ ὁμωρόφιος.*] Ἀριστάρχῳ μετὰ τὴν φήμην, οὐδὲν [2]) ἐκείνῳ πέπρακται δεινόν. εἰ δέδρακε δὲ τὸν φόνον, κοινωνεῖ τοῦ μύσους [3]), ἐπειδήπερ αὐτῷ καὶ τῆς στέγης τῆς αὐτῆς ἐκοινώνησεν [4]).

*Τῇ δ' ὑστεραίᾳ πάλιν.*] Πᾶσαν αὐτοῦ παρείλετο πρόφασιν. ἵνα γὰρ μὴ εἴπῃ, „συνῆν Ἀριστάρχῳ πρὶν ἢ γενέσθαι τὴν φήμην“, προσέθηκεν, ὅτι „πῶς, εἰ καὶ μετὰ τὴν κατηγορίαν, ἣν αὐτὸς κατηγόρησας;“

*Οὑτωσὶ καθιζόμενος* [5]).] Δεικτικῷ τόπῳ [6]) κέ-

1) λαλῶν W. 2) Desideres οὖν post οὐδὲν, sed cohaerent haec cum iis quae antecedunt. 3) Ita W. de coni., μίσους vulg. 4) ἐκοινώνισε Herv. 5) καθεζόμενος Lut. 6) An τρόπῳ?

---

1) λαλῶν μὲν] Ita Be. vulg. ante Reisk. et FΣtv cum mg. Ω et corr. Π probatque Schaef., ἄλλων μὲν Ys pr. Ω et Ulp., αλῶ μὲν (λ ν) k, μᾶλλον μὲν r; in Aug. primum erat λαλῶν, sed λ. postea erasum est; ἁλῶν μὲν κοινωνήσας Stephan. in Thesaur. v. ἅλς; „ita enim legi in optimis et vetustissimis Cdd.“; secutus est Bu., etsi κοινωνήσας verbo omnes libri carent; ἁλῶν μὲν κοινωνὸς Reisk. de coni. 2) γενόμενος kr Bu. 3) εἰργασμένων ΥΩ. 4) ἐστ ἀπολωλέναι δίκαιος Ftv et vulg. ante Bu. 5) Ita vulg. ante Reisk. et FΠΣΥΩstv, τῇ μὲν πρ. Reisk. ex Aug., Bu. Be. 6) ἢ ὅτε maluerunt Tayl. et Reisk. 7) θ' maluit Tayl. 8) πάλιν αὖ Aug. kr Reisk. 9) τοῦτο μὲν γὰρ οὐκ — ἀκαθ. Aristid. τεχν. ῥητ. 266. T. 2. p. 749 Dind. 10) ἔχων r. 11) Ita vulg. ante Be. et Fkrtv, καθιζόμενος Par. 1. schol. Be.; sed cf. Buttm. Gr. Gr. 2, 153 sq.

ἐμβαλὼν, παρόντων πολλῶν, μετὰ τοὺς ἐν τῇ βουλῇ τού-
τους λόγους, ἐν οἷς αὐτόχειρα καὶ τὰ δεινότατα εἰρήκει τὸν
Ἀρίσταρχον, ὤμνυε μὲν κατ᾽ ἐξωλείας μηδὲν εἰρηκέναι
498 Bk. περὶ [1]) αὐτοῦ φαῦλον [2]), καὶ οὐδὲν ἐφρόντιζεν ἐπιορκῶν,
καὶ ταῦτα παρόντων τῶν συνειδότων, ἠξίου δὲ καὶ πρὸς
ἐμὲ αὐτῷ [3]) δι᾽ ἐκείνου γίγνεσθαι τὰς διαλύσεις, τούτων [4])

---

χρηται, σημαίνων, ὅτι, ὥςπερ ὑμεῖς οἱ δικασταὶ πλησίον ἀλλήλων καθέζεσθε, οὕτω κἀκεῖνος συνεκαθέζετο Ἀριστάρχῳ. δείκνυσιν οὖν, ὅτι τὴν ἐσθῆτα τῇ ἐσθῆτι συνῆπτεν.

Τὴν δεξιὰν ἐμβαλών.] Εἰς τὴν ἐκείνου δηλονότι, ὥςτε τὴν χεῖρα ἠσπάζετο τὴν ἐργασαμένην τὸν φόνον, τρόπον τινὰ διὰ τοῦ σώματος τῇ ψυχῇ συναπτόμενος. οὐκοῦν ἄντικρυς ἐκοινώνησε τοῦ μιάσματος.

Μετὰ τοὺς ἐν τῇ βουλῇ τούτους λόγους.] Ὃν χθὲς ὡς ἀνδροφόνον ᾐτιάσατο [1]), τούτῳ τῇ ὑστεραίᾳ συνῆν.

(Ὤμνυε μὲν κατ᾽ ἐξωλείας.] Χρῶμα, διὰ τί ἂν ἐβουλήθη ἔγκλημά σοι ἐπάγειν; ὁ δέ φησιν, ἵνα μὴ δῷ [2]) τὴν ἐπὶ τῇ ὕβρει δίκην. B.)

Καὶ [3]) οὐδὲν ἐφρόντιζεν ἐπιορκῶν.] Πάντα ἀθρόως κατηγόρησεν, ἀναισχυντίαν, ἐπιορκίαν, ἀπιστίαν, ἀσέβειαν.

Ἠξίου δὲ καὶ πρὸς ἐμέ.] Τὰ πολὺ διεστῶτα τοῖς χρόνοις συνῆψεν, ἵνα καὶ τὰ ἕτερα πιθανὰ παραστήσῃ. „παρακαλεῖ [4]) γάρ“, φησί, „τὸν Ἀρίσταρχον, ὥςτε δι᾽ αὐτὸν πρὸς ἐμὲ διαλύσασθαι“. „τοῦτο δὲ Μειδίας μὲν [5]) ἴσως ἐποίησε, πρὶν ἢ γενέσθαι τὸ ἔγκλημα τοῦ φόνου“. συνάγει δὲ ὁ Δημοσθένης τὸν χρόνον, ὅτι καὶ μετὰ [6])

1) ᾐτιάσατοι W. 2) Erat δῶ. 3) καὶ — ἐπιορκ. cum Lut. lemma constitui. 4) Malim παρεκάλει. 5) Ita Lut., μὲν πρὶν ἴσως ἢ γενέσθαι Ald. Herv., μὲν ἐποίησεν ἴσως πρὶν ἢ γ. W. 6) μετὰ] Malim μετὰ τὴν.

---

1) περὶ] κατ᾽ kr Aug., utrumque habet Bav. 2) φαῦλον ΠΣΥΩs, φλαῦρον vulg. 3) Ita Markl. Bu. Be., αὐτῷ reliqui. 4) τούτων] Ita Be. ex Σ, καὶ τούτων vulg. et schol.

τοὺς παρόντας ὑμῖν καλῶ μάρτυρας [1]). καίτοι πῶς οὐ δει- d.
νὸν ὦ ἄνδρες Ἀθηναῖοι, μᾶλλον δὲ ἀσεβές [2]), λέγειν ὡς φονεύς, καὶ πάλιν ὡς οὐκ εἴρηκε ταῦτ᾽ ἀπομνύναι [3]), καὶ φόνον [4]) μὲν ὀνειδίζειν, τούτῳ [5]) δ᾽ ὁμωρόφιον γίγνεσθαι; κἂν μὲν ἀφῶ τοῦτον ἐγὼ καὶ προδῶ τὴν ὑμετέραν κατα-

---

φήμην, ἵνα ποιήσῃ πιθανόν, ὅτι καὶ συνῆν καὶ ὡμίλει [1]), καὶ ὅτι κοινωνεῖ [2]) τοῦ μύσους [3]). ἢ [4]) οὐδὲν Ἀριστάρχῳ πέπρακται δεινόν, εἰ καὶ [5]) Μειδίας καθαρός. (Πληρώσας τὴν παρέκβασιν εἰςέβαλεν εἰς τοὺς καθολικοὺς ἐπιλόγους, οἵτινες μικρῷ πλείους εἰσὶ τῶν ἀγώνων. B.)

Καὶ τούτων τοὺς παρόντας ὑμῖν καλῶ μάρτυρας.] Ὅτι [6]) μὲν περὶ διαλύσεων Μειδίου Ἀριστάρχῳ [7]) μαρτυρήσουσιν, ὅμως δὲ ὁ ῥήτωρ ἐᾷ [8]) τὸ ἕτερον καὶ τὸ ἕτερον συναρπάζει.

Καίτοι πῶς οὐ δεινὸν ὦ ἄνδρες Ἀθηναῖοι.] Τὸν ἐχθρὸν αὐτὸν δείκνυσι φανερῶς ἀπολύοντα τοῦ φόνου, „καὶ [9]) πάλιν λέγει μηδὲν εἰρηκέναι τοιοῦτον.“ οὐκοῦν διὰ τῆς ὕστερον ἀρνήσεως ἀνατρέπει τὰ φθάσαντα. καὶ οὐδὲ ὁμοίως ἑκάτερον ἐποίησεν· ὅτε γὰρ μὲν κατηγόρει, λόγοις ἐχρῆτο ψιλῶς, ὅτε δὲ ἠρνεῖτο, καὶ τοὺς θεοὺς ἐπώμνυτο· πιστότεροι δὲ οἱ ὅρκοι τῶν ἁπλῶς λεγομένων.

Τούτου [10]) δ᾽ ὁμωρόφιον γίγνεσθαι.] Ἀφ᾽ ὧν ἐβόα καθαρὸν εἶναι τὸν ἄνθρωπον· οὐ γὰρ ἂν ἑκὼν ἐμολύνετο.

1) ὁμίλει Ald. Herv. 2) κονωνεῖ Herv. 3) Ita W., μίσους vulg. 4) ἢ] τοιγαροῦν ἢ coni. W., ego vero malim ἢ οὖν οὐδ. — δεινὸν ἢ καὶ Μ. οὐ καθ. 5) Ita W., καὶ εἰ vulg., καὶ om. Par. 1. 6) ὅτι μὲν] οὗτοι μόνον W. de coni. 7) Ἀριστ.] δι᾽ Ἀριστάρχου W. de coni. 8) Haec vitii manifesta. 9) τῷ πάλιν λέγειν W. de coni. 10) τούτῳ Lut.

---

1) „Post μάρτυρας in libris plerisque titulus est Μαρτύρες vel μαρτυρία, quem om. Π, omittendum esse vidit Tayl.“ Be., titulum uncis circumscripsit Reisk., om. Bu. Be. 2) ἀσελγὲς r. 3) ἐπομνύναι r. 4) φόνου r. 5) ὀνειδίζειν τούτῳ, ὁμωρόφιον δὲ corr. Ω, probat Schaef. τῷ αὐτῷ mavult Reisk., τούτου schol.

χειροτονίαν, οὐδέν, ὡς ἔοικ' [1]), ἀδικῶ· ἂν [2]) δ' ἐπεξίω,
λέλοιπα τὴν τάξιν, φόνου κοινωνῶ, δεῖ με ἀνηρπά- 554
σθαι [3]). ἐγὼ δ' αὖ τοὐναντίον οἶμαι [4]), εἰ [5]) τοῦτον R.
ἀφῆκα, λελοιπέναι μὲν [6]) ὦ ἄνδρες Ἀθηναῖοι τὴν τοῦ δι-
καίου τάξιν, φόνου δ' ἂν εἰκότως ἐμαυτῷ λαχεῖν· οὐ
121 γὰρ ἦν μοι δήπου [7]) βιωτὸν τοῦτο ποιήσαντι. Ὅτι 34
τοίνυν καὶ ταῦτ' ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς Bk.
μάρτυρας.

ΜΑΡΤΥΡΕΣ [8]).

Λυσίμαχος Ἀλωπεκῆθεν, Δημέας Σουνιεύς [9]), Χά-

---

Καὶ προδῶ τὴν ὑμετέραν.] Μὴ [1]) προδόντες ὑμεῖς τὴν ὑμῶν αὐτῶν προδώσετε.

Ἂν δ' ἐπεξίω.] Ἐπανήγαγεν ἐπὶ τὴν ἐξ ἀρχῆς αἰτίαν τὸν λόγον [2]), δι' ἃ [3]) ταῦτα κατασκευάζει κατ' ἐμοῦ. ἤδη [4]) γάρ με βουλόμενον ἐπεξελθεῖν οἷς [5]) ὑβρίσθην. δεῖ γὰρ ἐν ταῖς ἰσχυροτάταις πίστεσι καταλύειν τὰ κεφάλαια.

Φόνου δ' ἂν εἰκότως ἐμαυτῷ λαχεῖν.] Τοῦτο παραπλήσιόν ἐστι τῷ ἐν τῷ προοιμίῳ [6]), „εἴπερ ὑβρισθέντα μηδεμιᾶς δίκης τυχεῖν ἐστί τις συμφορά“.

Κάλει μοι τούτων τοὺς μάρτυρας.] Ὅτι ἐθεάσαντό τινες τὸν Μειδίαν καὶ πρὸ τῆς κατηγορίας καὶ μετὰ τὴν κατηγορίαν εἰσιέναι [7]) παρὰ Ἀρίσταρχον.

1) ἣν προδόντες ὑμεῖς τὴν ὑμῶν αὐτῶν ἀσφάλειαν προδώσετε W. de coni. 2) Ita W., τοῦ λόγρυ vulg. 3) λόγον, διὰ ταῦτα κατασκευάζει τὴν αἰτίαν κατ' W. de coni. 4) Ita W. de coni., ἤδη vulg. 5) Non opus est, ἐφ' οἷς scribatur. 6) Ita Lut., τῷ προοιμίοις Ald. Herv., τοῖς προοιμίοις W. 7) εἰσιόντα mg. Lut.

---

1) Ita Be. ex ΠΣΥΩs, ἔοικεν vulg. 2) ἐὰν r. 3) ἀνηρπᾶσθαι vulg. ante Reisk. 4) Reisk. non monito lectore de coni., ut videtur, οἴομαι. 5) εἰ om. r. 6) λελοιπέναι μὲν ἂν maluit Wunderlich. 7) ἦν δήπου μοι kr. 8) μαρτυρίαι ΠΣΥΩ, μαρτυρία s, in Aug. totum testimonium om. 9) σουνεὺς ΠΣs.

ρης [1]) Θορίκιος [2]), Φιλήμων Σφήττιος [3]), Μόσχος Παιανιεὺς καθ' [4]) οὓς καιροὺς ἡ εἰςαγγελία ἐδόθη [ἡ [5])] εἰς τὴν βουλὴν ὑπὲρ Ἀριστάρχου τοῦ Μόσχου [6]), ὅτι εἴη Νικόδημον ἀπεκτονώς, οἴδαμεν Μειδίαν τὸν κρινόμενον ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν, ἐλθόντα πρὸς τὴν βουλὴν καὶ λέγοντα μηδένα ἕτερον εἶναι τὸν Νικοδήμου φονέα ἀλλ' Ἀρίσταρχον, καὶ τοῦτον αὐτοῦ [7]) γεγονέναι αὐτόχειρα· καὶ συμβουλεύοντα τῇ βουλῇ βαδίζειν ἐπὶ τὴν οἰκίαν τὴν Ἀριστάρχου καὶ συλλαμβάνειν αὐτόν. ταῦτα δ' [8]) ἔλεγε πρὸς τὴν βουλήν, τῇ προτεραίᾳ [9]) μετ' Ἀριστάρχου καὶ μεθ' ἡμῶν συνδεδειπνηκώς. οἴδαμεν δὲ καὶ Μειδίαν, ὡς ἀπῆλθεν ἀπὸ τῆς βουλῆς τούτους τοὺς λόγους εἰρηκώς [10]), εἰςεληλυθότα πάλιν ὡς Ἀρίσταρχον καὶ τὴν δεξιὰν ὡς [11]) ἐμβεβληκότα καὶ ὀμνύοντα κατ' ἐξωλείας μηδὲν κατ' αὐτοῦ πρὸς τὴν βουλὴν εἰρηκέναι φαῦλον, καὶ ἀξιοῦντα Ἀρίσταρχον ὅπως ἂν διαλλάξῃ αὐτῷ [12]) Δημοσθένην. b.

---

(Κατ' ἐξωλείας.] Ἐξώλεια [1]) ἡ πανωλεθρία, ἡ παντελὴς ἀπώλεια, καὶ ἐξώλειαν ἑαυτῷ προςεπαρασάμενος, καὶ ὁτιοῦν αὐτῶν ἐκβῇ· τουτέστιν ἀπηγορευμένον κακόν. B.)

1) Haec fere eadem certe iisdem inquinata vitiis leguntur in Suid. s. v. ἐξώλεια.

---

1) Ita Reisk. de coni. et Be., χιάρης FΣΥΩstv Bu. et vulg. ante Reisk. 2) Θόρκιος Par. 2. stv. 3) Ita Wolf. Reisk. Bu. Be., σφήτιος Ald. Herv. Felic. Lut. 4) καθ' οὓς — ἀπεκτονὼς Bekker. Anecd. 176, 30. 5) ἡ Schaefero suspectum, neque immerito. 6) Νικοδήμου Anecd. 7) Ita ΠΥΩs Vind. Obsop. Felic. Paul. Herv. 2da Markl. Be., αὐτὸν vulg. 8) Ita Be., δὲ vulg. 9) προτέρᾳ ΠΣΩ. 10) εἰρηκότα Ald. Herv. 1ma. Wolf. 11) ὡς deletum volunt Tayl. Reisk. Schaef., delevit Bu., οἱ inesse suspicatur Schaef. 12) Ita Be., αὐτῷ vulg.

122 Τίς οὖν ὑπερβολή; τίς ὁμοία τῇ τούτου γέγονεν ἢ γέ- c.
νοιτ᾽ ἂν πονηρία; ὃς ἄνδρα ἀτυχοῦντα, οὐδὲν αὐτον [1])
499 ἠδικηκότα "(ἐῶ γάρ, εἰ [2]) φίλον), ἅμα [3]) συκοφαντεῖν
Bk. ᾤετο δεῖν καὶ πρὸς ἐμὲ αὐτὸν [4]) διαλύειν ἠξίου, καὶ "ταῦτ᾽ 555
ἔπραττε καὶ χρήματ᾽ ἀνήλισκεν ἐπὶ τῷ μετ᾽ ἐκείνου κἀμὲ R.
προσεκβαλεῖν ἀδίκως.

123 Τοῦτο μέντοι τὸ τοιοῦτον ἔθος καὶ τὸ κατασκεύασμα 35
ὦ ἄνδρες Ἀθηναῖοι [5]), τὸ τοῖς ὑπὲρ αὐτῶν [6]) ἐπεξιοῦσι Bu.
δικαίως ἔτι πλείω περιστάναι κακά, οὐκ ἐμοὶ μὲν ἄξιόν
ἐστ᾽ ἀγανακτεῖν καὶ βαρέως φέρειν ὑμῖν δὲ τοῖς ἄλλοις παριδεῖν· πολλοῦ γε καὶ δεῖ· ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον, ἐκλογιζομένοις καὶ θεωροῦσιν, ὅτι τοῦ μὲν ὦ ἄνδρες Ἀθη-

---

*Τίς οὖν ὑπερβολή;]* Καὶ ἐκ τούτων ἔδειξε, περὶ τίνων οἱ μάρτυρες αὐτῷ μεμαρτυρήκασιν, ὅτι ὁμοῦ καὶ κατηγόρει τοῦ Ἀριστάρχου καὶ πρὸς ἐμὲ ἠξίου διαλύειν· τοῦτο δέ ἐστι μετὰ τὴν κατηγορίαν.

*Τοῦτο μέντοι τοιοῦτον ἔθος.]* Πληρώσας τὴν παρέκβασιν ἐπιλογίζεται λοιπόν. ἔθος γὰρ αὐτῷ μὴ πρότερον ἐφ᾽ ἕτερον μεταβαίνειν, πρὶν ἢ τὸ πληρωθὲν ἐπιλογίσασθαι.

*Ὑμῖν δὲ τοῖς ἄλλοις παριδεῖν.]* Κοινὸν ἐργάζεται φόβον, τοὺς δικαστὰς ἐπάγων εἰς ἀγανάκτησιν.

*Ἀλλὰ πᾶσιν ὁμοίως ὀργιστέον.]* Πάλιν εἰς τὸ δημόσιον ἀνάγει τὰ πραχθέντα καὶ κέχρηται τελικὰ κεφάλαια [1]) τῷ συμφέροντι. παρειλήφαμεν γάρ, ὅτι τοῖς τελικοῖς κεφαλαίοις οἱ ἐπίλογοι πληροῦνται.

1) τελικῷ κεφαλαίῳ W., κέχρηται τῷ συμφέροντι, καὶ παρείληφε τελικὰ κεφάλαια. εἰρήκαμεν γὰρ ὅτι Lut.

---

1) Ita Be., αὐτὸν vulg. 2) εἰ] εἰπεῖν Ven. k Reisk. Bu., εἰπεῖν εἰ Lessing. 3) ἀλλὰ r. 4) Ita Markl. Bu. Be. Schaef. Dind., αὐτὸν vulg. 5) ὦ δικασταὶ r. 6) αὐτῶν Ald. post. et vulg. ante Reisk.

ναῖοι [1]) ῥᾳδίως κακῶς παθεῖν [2]) ἐγγύτατα ἡμῶν [3]) εἰσιν οἱ πενέστατοι καὶ ἀσθενέστατοι, τοῦ δ' ὑβρίσαι καὶ τοῦ b.
ποιήσαντας [4]) μὴ δοῦναι δίκην ἀλλὰ τοὺς ἀντιπαρέξοντας πράγματα μισθώσασθαι οἱ [5]) βδελυροὶ καὶ χρήματα [6])
124 ἔχοντές εἰσιν ἐγγυτάτω [7]). οὐ [8]) δὴ δεῖ παρορᾶν τὰ [9]) τοιαῦτα, οὐδὲ [10]) τὸν ἐξείργοντα δέει [11]) καὶ φόβῳ τὸ [12]) δίκην ὧν ἂν ἡμῶν ἀδικηθῇ τις λαμβάνειν παρ' αὐτοῦ [13]) ἄλλο τι [14]) χρὴ νομίζειν ποιεῖν, ἢ τὰς τῆς ἰσηγορίας [15]) καὶ τὰς τῆς ἐλευθερίας [16]) ἡμῶν [17]) μετουσίας ἀφαιρεῖσθαι. ἐγὼ μὲν γὰρ ἴσως διεωσάμην [18]) καὶ ἄλλος τις ἂν [19]) c.

---

Οἱ βδελυροὶ καὶ χρήματ' ἔχοντες.] Καλῶς τὸ μιαρὸν τοῦ τρόπου προέταξε τοῦ πλούτου· οἶδε γάρ, ὡς αὐτὸς καθ' ἑαυτὸν ὁ πλοῦτος οὐ διαβάλλεται.

Ἐγὼ μὲν γὰρ ἴσως διεωσάμην.] Ὅρα, ὅπως καὶ τὸ φορτικὸν διέφυγε, τὸ „ἴσως" εἰπών, καὶ τὸ δεινὸν ἐπηύξησεν. εἰ γὰρ ῥήτωρ ὢν αὐτὸς οὐ πάντως ἀπωθεῖσθαι δύναται συκοφαντίαν, τί ποιήσουσιν οἱ μὴ ἔχοντες τὴν τέχνην; ἀποδείκνυσι δέ, ὅτι πεπλήρωται τὰ τῆς ἀπολογίας τῆς περὶ τοῦ φόνου. διεωσάμην γάρ, φησί, ψευδῆ λόγον, τουτέστι, τὸ [1]) περὶ τοῦ φόνου, διεωσάμην δὲ καὶ συκοφαντίαν, τουτέστι, τὴν τοῦ λειποταξίου.

1) Malim τὸν.

---

1) δικασταὶ Aug. 2) παθεῖν] πάλιν Aug. r et γρ. F, πάσχειν γρ. r. 3) ὑμῶν Aug. ΠΣΥkrs Felic. Paul. Herv. 2da corr. Weimaran. Bu. 4) Ita vulg. ante Reisk., ita Bu. Di. FΣΥΩstv, ποιήσαντάς τι Reisk. ex Aug. et Par. 5, retinuitque Be., τοῦ κακῶς ποιήσαντας μὴ coni. Iurin. 5) οἱ δὲ r Aug. 6) χρήματ' vulg. post Reisk. 7) εἰσιν ἐγγυτάτω uncis incluserunt Reisk. Be., defendit Bu., deleta maluit Schaef. 8) οὐ] εἰ corr. k. 9) παρορᾶν τὰ] παρορῶντα r. 10) οὐδὲ] καὶ εἶναι rc. k. 11) δέῃ Herv. 2da. 12) τοῦ coni. Markl. 13) Ita Be., αὐτοῦ vulg. 14) ἀλλ' ὅτι Ald. Herv. 1ma. 15) Moeris p. 203 Piers. 16) τῆς ἐλευθ. καὶ τῆς ἰσηγ. kr, id quod coniectura assecutus erat Sp., et verum videtur Schaefero. 17) ὑμῶν kr. 18) διεσωσάμην Σs Bav., διωσάμην Paul. 19) ἐὰν kr.

ψευδῆ λόγον καὶ συκοφαντίαν, καὶ οὐκ ἀνήρπασμαι· οἱ δὲ πολλοὶ τί ποιήσετε, ἂν μὴ δημοσίᾳ πᾶσι φοβερὸν [1]) κατα-
125 στήσητε [2]) τὸ εἰς ταῦτα ἀποχρῆσθαι τῷ πλουτεῖν; δόν- d.
τα [3]) λόγον καὶ ὑποσχόντα κρίσιν περὶ ὧν ἄν τις ἐγκαλῇ [4]), τότ' ἀμύνεσθαι [5]) τοὺς ἀδίκως ἐφ' αὐτὸν [6]) ἐλθόντας χρή, καὶ τότ' [7]), ἂν ἀδικοῦντας [8]) ὁρᾷ τις, οὐ προαναρπάζειν, οὐδ' ἐπάγοντ' αἰτίας ψευδεῖς ἄκριτον ζητεῖν ἀποφεύγειν, οὐδ' ἐπὶ τῷ διδόναι δίκην ἀσχάλλειν, ἀλλὰ μὴ ποιεῖν ἐξ ἀρχῆς ἀσελγὲς μηδέν.

126 Ὅσα μὲν τοίνυν εἴς τε [9]) τὴν [10]) λειτουργίαν καὶ τὸ 36 Bk.

---

Οἱ δὲ πολλοὶ τί ποιήσετε.] Δεδήλωκεν, ὅτι ἐπὶ τὸ δημόσιον πάντα ἀνάγει.

Δόντα λόγον καὶ ὑποσχόντα.] „Καλεῖ σέ τις, φησίν, εἰς κρίσιν“. „μὴ διάφευγε τὸ δικαστήριον, ὕπεχε τὰς εὐθύνας. οὐ γὰρ ἄλλως φανείης ἂν ἀναμάρτητος. ἀλλ' ἐρεῖς, „„„μάτην ἐγκαλοῦμαι, συκοφάντης ἐστὶν ὁ κατήγορος“““. ἄφες τοῦτο γνωσθῆναι τῇ ψήφῳ“. συγχεῖ, φησί, τὴν τάξιν τῆς πολιτείας ὁ Μειδίας. πρὶν ἀπολογήσασθαι κατηγόρηκεν, πρὶν ἢ δίκας ὑποσχεῖν ἀπαιτεῖν βούλεται, καὶ ταῦτα τοὺς μηδὲν ἀδικοῦντας.

Ὅσα μὲν τοίνυν.] Πληρώσας τοὺς ἀγῶνας καὶ τὴν παρέκβασιν καὶ τοὺς ἐπιλόγους τῆς [1]) παρεκβάσεως, ἐντεῦθεν ἐπὶ τοὺς ἐπιλόγους τοῦ παντὸς [2]) λόγου κεχώρηκε.

1) τῆς] πάλιν Bav. 2) παντὸς] περὶ τοῦ Bav.

---

1) φοβερὸν πᾶσι Aug. kr, πᾶσι φανερὸν ΠΩs. 2) καταστήσεται Aug. 3) δόντα δὲ mg. Berol. 4) ἐγκαλέσῃ kr Aug. Bu. 5) ἀμύνασθαι krs. 6) Ita Bav. Felic. Herv. 2da Bu. Be., qui vulg. ἐπ' αὐτὸν e solis kr enotavit. 7) τότε vulg. ante Reisk.; duplex τότε offensioni erat Spaldingo. 8) ἀδικοῦντα ΣΥΩs, καὶ ὅταν (vel ὁπόταν) ἀδικοῦντά σε ὁρᾷ τις coni. Wolf., τότε ἂν ἀδικοῦντά σε ὁρᾷ τις in ordinem recepit W., post ὁρᾷ τις infinitiv. εἰςαγγέλλειν, γράφεσθαι, τιμωρεῖσθαι vel tale quid deesse videtur Reiskio, quorum postremum placuit etiam Spaldingo. 9) εἴς τε] ἔστε Aug. 10) τὴν om. tv.

σῶμα [1]) ὑβρίσθην, καὶ πάντ' [2]) ἐπιβουλευόμενος τρόπον
00 καὶ πάσχων κακῶς ἐκπέφευγα, ἀκηκόατε ὦ ἄνδρες Ἀθη- 556
k. ναῖοι. καὶ παραλείπω δὲ πολλά· οὐ γὰρ ἴσως ῥάδιον πάντ' R. b.
εἰπεῖν. ἔχει δ' οὕτως. οὐκ ἔστ' [3]) ἐφ' ὅτῳ τῶν πεπραγμέ-
νων ἐγὼ μόνος ἠδίκημαι, ἀλλ' ἐπὶ μὲν τοῖς εἰς τὸν χορὸν
γεγενημένοις ἀδικήμασιν ἡ φυλή, τὸ δέκατον μέρος ὑμῶν [4]),
συνηδίκηται, ἐπὶ δ' οἷς ἐμὲ ὕβρισε καὶ ἐπεβούλευσεν οἱ

---

καὶ κέχρηται μὲν προοιμιακῇ [1]) ἐννοίᾳ, ἅτε δὴ μέλλων εἰς ὁλόκληρον κεφάλαιον ἐμβάλλειν [2]), χωρεῖ δὲ εὐθὺς ἐπὶ τὴν ἀνακεφαλαίωσιν, ἐν ᾗ παραλαμβάνει τὸ κατὰ σύλληψιν. ἀρχὴ δὲ ἐκεῖθεν „οὐκ ἔστιν ἐφ' ὅτῳ". συναγωγὴν γὰρ ποιεῖται τῶν τε ἰδίων καὶ τῶν κοινῶν, ὅπερ ἐστὶ κατὰ σύλληψιν εἶδος.

(Οὐκ ἔστ' ἐφ' ὅτῳ.] Σημείωσαι. ἐντεῦθεν εἴληπται τὸ οὐκ ἔστ' ἐφ' ὅτῳ οὐχὶ [3]) τῶν ἁπάντων. B.)

(Ἐγὼ μόνος ἠδίκημαι.] Ἐν τούτῳ τὸ ἰδιωτικόν. B.)

Ἀλλ' ἐπὶ μὲν τοῖς εἰς τὸν χορόν.] Ἐν τούτῳ τὸ δημόσιον, καὶ οὐκέτι λέγει τὸν χορηγὸν ἀλλὰ τὴν φυλήν. δεῖ γὰρ ὡς ἐν ἐπιλόγοις μείζους εἶναι τὰς αὐξήσεις.

Ἐπὶ δ' οἷς ἐμὲ ὕβρισεν.] Ἐνδείκνυται τὸ ἀδίκημα καί φησιν, ὅτι πάντα ἠδίκησε, τὴν φυλήν, τοὺς νόμους, τὴν τύχην [4]) τῆς πόλεως, τὸ δαιμόνιον τῆς ὁσίας, καὶ αὐτὴν τὴν ὁσίαν τὴν ἐφ' ὁλοκλήρου πόλεως. τὸ γὰρ ὅσιον τέμνεται [5]) τὸ μέν τι εἰς τὸ [6]) εὐσεβές, ὅπερ ἐστὶ περὶ θεούς, τὸ δὲ [7]) εἰς τὸ ὅσιον, τὸ δὲ εἰς ὁλόκληρον πόλιν, τὸ δὲ εἰς ἕκαστον τῶν ἀνθρώπων, τὸ δὲ εἰς τοὺς τελευτήσαντας. νῦν δὲ τὸ ὅσιον καὶ σεμνὸν οὐ τὸ ἀνθρώπινόν [8]) φησιν ἀλλὰ τὸ θεῖον τὸ ἐφορῶν τὴν πανήγυριν.

1) ἐννοίᾳ δὲ κέχρηται προοιμιαστικῇ Bav. 2) ἐμβαλεῖν Bav. 3) οὐχὶ] Desideratur eius loco ἀντὶ τοῦ οὐδενί. 4) τύχην asterisco notatum in W. 5) τέμνηται W., haud dubie operarum errore. 6) τὸ addidi ex W. 7) τὸ δὲ εἰς τὸ ὅσιον tollenda videntur; τὸ δὲ εἰς τὸ ὅσιον,* δημόσιον, τουτέστιν, εἰς ὁλοκ. W. de coni., debebat saltem omittere ὅσιον. 8) ἀνθρόπινον Herv.

---

1) σῶμ' Be. 2) ἅπαντ' kr, πάντα vulg. ante Reisk. 3) ἔνεστι Aug. k. 4) ἡμῖν r.

νόμοι, δι' οὓς εἷς 1) ἕκαστος ὑμῶν σῶς ἐστιν, ἐφ' ἅπασι δὲ τούτοις ὁ θεός, ᾧ χορηγὸς 2) ἐγὼ καθειστήκειν, καὶ τὸ τῆς ὁσίας, ὁτιδήποτ' 3) ἐστί, τὸ σεμνὸν καὶ τὸ δαιμόνιον
127 συνηδίκηται. δεῖ δὴ τούς 4) γε βουλομένους ὀρθῶς τὴν c.
κατ' ἀξίαν 5) τῶν πεπραγμένων παρὰ 6) τούτου δίκην λαβεῖν 7) οὐχ 8) ὡς ὑπὲρ ἐμοῦ 9) ὄντος μόνον 10) τοῦ λόγου τὴν ὀργὴν ἔχειν, ἀλλ' ὡς ἐν ταὐτῷ τῶν νόμων, τοῦ θεοῦ, τῆς πόλεως, ὁμοῦ 11) πάντων ἠδικημένων, οὕτω ποιεῖσθαι τὴν τιμωρίαν, καὶ τοὺς βοηθοῦντας καὶ τοὺς 12) συν-

---

Ἐφ' ἅπασι δὲ τούτοις.] Ἀθροισμὸν 1) ποιεῖται πάντων, ἐξ ὧν δημόσιον τὸ ἀδίκημα.

(Οὐχ ὡς ὑπὲρ ἡμῶν ὄντος μόνον τοῦ λόγου.] Ἀνακεφαλαίωσις τοῦ κατὰ σύλληψιν, ὅτι καὶ ὕβρις καὶ ἀσέβεια τὸ πραχθέν. B.)

Ἀλλ' ὡς ἐν αὐτῷ τῷ νόμῳ.] Δοκῶν 2) πεπαῦσθαι τούτων 3) πάλιν ἄρχεται· τοῦτο γὰρ 4) ἴδιον Δημοσθένους, τὸ πολλὰς εὑρίσκειν μεθόδους, ὡς τὰ ἰσχυρὰ 5) λέγοντα φεύγειν τὸ προσκορές.

Καὶ τοὺς συνεξεταζομένους.] Μέλλων μετ' 6) ὀλίγον ἐκβάλλειν αὐτοῦ 7) τοὺς συνηγόρους, ἐν-

1) Hoc scholion in Bav. et Lut. leguntur. 2) Δοκῶν δὲ Bav. 3) τῶν τοιούτων Bav. 4) ἄρχεται, ὅπερ ἴδιον Bav. 5) Ita Bav. et W. de coni. pro τὰς ἰσχυρὰς. 6) κατ' ὀλίγον Bav. 7) αὐτοῦ om. Bav.

---

1) εἷς om. Ykrs Aug. Ald. Felic. Herv. 1. 2. Paul. Wolf. 2) χορὸς pr. Y. 3) ὁτιδήποτ' — δαιμόνιον suspecta Reiskio. 4) τοῖς Felic. 5) καταξίαν s. 6) παρὰ] Ita vulg. post Reisk. Bav. Aug. Par. 2. 5., περὶ vulg. ante R. et s. 7) λαμβάνειν kr. 8) οὐ vulg. ante Reisk., οὐκ Wolf. 9) Ita Aug. Lessing. vulg. post Reisk., ἡμῶν schol. vulg. ante R. et Ftv, ὑμῶν ΠΣΥΩs mg. Lut., omnes has tres lectiones simul exhibet Bav. 10) Ita vulg. ante Reisk. et Be., μόνον ὄντος kr Bu. et Reisk., et hic non monito lectore, ni fallor, ex solo Aug. 11) Ita Aug. Barocc. kr Wolf. (de coni.) Reisk. Be., ἐμοῦ Bu. et vulg. ante R. 12) τοὺς om. Ftv Bav. Ald. Herv. Wolf. Sp. Bu.

ἐξεταζομένους μετὰ τούτου μὴ συνηγόρους μόνον ἀλλὰ καὶ δοκιμαστὰς τῶν τούτῳ πεπραγμένων ὑπολαμβάνετ᾽ 1) εἶναι.
128 Εἰ μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι σώφρονα καὶ μέ- d.

---

τεῦθεν ἤδη προδιαβάλλει συνεθίζων τοὺς δικαστὰς ταῖς κατ᾽ αὐτῶν βλασφημίαις. συνεξεταζομένους δὲ τοὺς ἅμα αὐτῷ φαινομένους καὶ συνδιατρίβοντας.

*Ἀλλὰ καὶ δοκιμαστάς.*] Ἐπαινέτας καὶ κρίνοντας εἶναι καλὰ 1) τὰ γινόμενα.

*Εἰ μὲν τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι.*] Ἐντεῦθέν ἐστιν ἡ τῆς ποιότητος ἐξέτασις, ἥτις ἐστὶ καθόλου, ποταπὸς ὁ βίος 2) τοῦ Μειδίου. προεξήτασται μὲν 3) ἤδη ἐκ τῆς ποιότητος, ἐν οἷς ἐπίορκον ἄπιστον ὠμὸν δύστροπον καὶ τὰ τοιαῦτα τὸν Μειδίαν ἀπέδειξεν. ἀλλ᾽ ἐκείνη μὲν ἡ ποιότης ἰδίαν εἶχεν ἐξέτασιν, ποταπὸς γέγονε Μειδίας περὶ αὐτὸν Δημοσθένην, καὶ γὰρ τὰ περὶ τὸν Στράτωνα 4) καὶ 5) πάντα ταῦτα εἰς Δημοσθένην εἶχε τὴν ἀναφοράν. νῦν δὲ τὴν καθολικὴν εἰσάγει ποιότητα, ποταπὸς περὶ πᾶσαν γεγένηται τὴν πόλιν Μειδίας. ἐπειδὴ γὰρ σώζεταί τις ἢ δι᾽ ἔλεον τῶν δικαστῶν, ἢ δι᾽ αὐτὸ τὸ πρᾶγμα, ὃ μέλλει ὑφίστασθαι, μέγα ὂν καὶ ὑπερβάλλον τὴν συνήθειαν, ἢ δι᾽ ἀξίωμα καὶ σεμνότητα, ὥστε δοκεῖν αἰδοῦς ἄξιος εἶναι, ἢ δι᾽ ἐπιείκειαν καὶ μετριότητα, ἣν ἐπεδείξατο περὶ τὸν ἄλλον βίον, ἢ δι᾽ ἃ λελειτούργηκε φθάνων, ἢ δι᾽ ἃ προσδοκᾶται 6) λειτουργήσειν, ἢ διὰ τοὺς συνηγοροῦντας, ἢ καὶ δι᾽ ἄλλα πλείω, διὰ τοῦτο καθέκαστον ἐν τοῖς ἐπιλόγοις ἐπεξέρχεται, πᾶσαν αὐτοῦ σωτηρίας ἀφορμὴν περικόπτων. πρῶτον οὖν ἐξετάζει, ποταπὸς 7) τοὺς ἄλλους. (Ἡ ποιότης, ἡ ἐν ἐπιλόγοις, κοινή. ἀποδείκνυσι γάρ, ὁποῖον ἑαυτὸν ὁ Μειδίας καὶ πρὸς τοὺς ἄλλους ἀπέδειξεν. ἄλλως· ἐντεῦθεν ἡ τῆς ποιότητος ἐξέτασις, ἥτις ἐστὶ

1) Ita W. de coni. et Lut., *κατὰ* vulg. 2) *ποταπὸς περὶ τοὺς ἄλλους ὁ βίος* W. de coni. 3) *μὲν*] *μὲν γὰρ* Lut. 4) *στράτονα* Herv. 5) *καὶ* tollendum videtur, nisi *τὰ τοιαῦτα* scribatur. 6) *προσδοκᾶτε* Ald. Herv. 7) *εἰς* post *ποτ.* addit Lut., *περὶ* W. de coni., probabilius videtur *ποτ. πρὸς* — *ποταπὰς* non ausus sum immutare, cum utraque forma locupletes auctores habeat.

---

1) *ὑπολαμβάνειν* Aug. Barocc. Ven. kr Tayl. Reisk. Bu. Be., *ὑπολαμβάνετε* vulg. ante Tayl., *ὑπολαμβάνετ᾽* ceteri libri Bekkeri.

τριον πρὸς τἄλλα παρεσχηκὼς αὑτὸν Μειδίας καὶ μηδένα
τῶν ἄλλων πολιτῶν μηδὲν [1]) ἠδικηκὼς εἰς ἐμὲ μόνον ἀσελ-
γὴς [2]) οὕτω καὶ βίαιος ἐγεγόνει, πρῶτον μὲν [3]) ἔγωγ' ἀτύ-
χημ' ἂν ἐμαυτοῦ [4]) τοῦτο ἡγούμην, ἔπειτ' ἐφοβούμην ἄν,
μὴ τὸν ἄλλον ἑαυτοῦ βίον οὗτος [5]) μέτριον δεικνύων καὶ
φιλάνθρωπον διακρούσηται [6]) τούτῳ τὸ δίκην ὧν ἐμὲ ὕ-
129 βρικε δοῦναι. νῦν [7]) δὲ τοσαῦτ' [8]) ἐστὶ τἄλλα [9]), ἃ πολ- c.
λοὺς ὑμῶν ἠδίκηκε, καὶ τοιαῦτα, ὥςτε τούτου μὲν τοῦ
δέους ἀπήλλαγμαι, φοβοῦμαι δὲ πάλιν τοὐναντίον, μὴ
ἐπειδὰν πολλὰ καὶ δεινὰ ἑτέρους ἀκούηθ' [10]) ὑπ' αὐτοῦ "πε- 557
501 πονθότας, τοιοῦτός τις ὑμῖν λογισμὸς "ἐμπέσῃ „τί οὖν [11]) R.
Bk. σὺ [12]) δεινότερα ἢ τῶν ἄλλων εἷς ἕκαστος πεπονθὼς ἀγα-

---

κοινὴ τούτοις, ἐν οἷς ἐπίορκον ἄπιστον ὠμὸν δύςτροπον ἐπέδειξεν· ἀλλ' ἐκείνη μὲν ἡ ποιότης ἰδίαν ἐξέτασιν ἔχει, ποδαπὸς γέγονε Μειδίας περὶ τὸν Δημοσθένην· νῦν δὲ τὴν καθολικὴν εἰςάγει ποιότητα, ποδαπὸς περὶ σύμπασαν τὴν ἑαυτοῦ βιοτὴν ἐφάνη. B.)

Ἀτύχημ' [1]) ἂν ἐμαυτῷ.] Ὅταν γὰρ περὶ τοὺς ἄλλους χρηστὸς [2]) φαῦλος δὲ περὶ ἡμᾶς μόνους φανῇ, δυςτυχία σαφὴς τὸ γιγνόμενον.

Νυνὶ δὲ τοσαῦτ' ἐστὶ τἄλλα.] Ἀγανακτεῖν ὑπὲρ τοῦ δήμου προςποιεῖται, ὡς δεινὰ πεπονθότος.

Σὺ δεινότερον ἢ τῶν ἄλλων [3]).] Ἐν οἷς δο-

1) ἀτίχημ' Ald. 2) χρηστοὺς Ald. Herv. 3) Ita Ald. Herv., δεινότερα Lut., σὺ μὴ δεινότερα τῶν W.

---

1) Ita vulg. ante Be. et Fkrtv, μηδὲν om. Be., Schaef. servatum mavult. 2) ἀσελγὴς μόνον Σkr. 3) μὲν om. Σ. 4) ἐμαυτῷ schol. 5) οὕτως k. 6) Ita Bu. et Be. ex ΠΣΥΩs, τούτῳ τὸ δίκην — δοῦναι διακρ. tv et vulg. ante Reisk., τούτῳ τὸ δίκην δοῦναι — διακρούσ. Aug. kr et Reisk., τούτῳ τὸ δοῦναι — δίκην διακρ. F. 7) Ita r, id quod probat Schaef., νυνὶ schol. et reliqui omnes. 8) τοσαῦτα vulg. ante Reisk. 9) Ita Bu. Be., ἐστι δὴ τἄλλα Ftv et vulg. ante Bu., τἄλλα om. Aug. kr. 10) Ita Be. Aug., ἀκούητε Par. 1., ἀκούσητε Ftv et vulg. ante Be. 11) τί οὖν om. pr. Σ. 12) σὺ μὴ δεινότερα coni. W. (et fortasse etiam Tayl.), τί οὖν οὐ δειν. Reisk. de coni., τί οὖν; σὺ δ. Bu. probat Schaef.

νακτεῖς“; πάντα μὲν δὴ τὰ τούτῳ πεπραγμένα οὔτ᾽ ἂν f.
ἐγὼ [1]) δυναίμην πρὸς ὑμᾶς [2]) εἰπεῖν, οὔτ᾽ ἂν ὑμεῖς ὑπο-
μείναιτ᾽ [3]) ἀκούειν· οὐδ᾽ εἰ τὸ παρ᾽ ἀμφοτέρων ἡμῶν [4])
ὕδωρ ὑπάρξειε πρὸς τὸ λοιπὸν πᾶν τό τ᾽ ἐμὸν καὶ τὸ τού-
του προστεθέν, οὐκ ἂν ἐξαρκέσειεν· ἃ δ᾽ ἐστὶ μέγιστα καὶ
130 φανερώτατα [5]), ταῦτ᾽ ἐρῶ, μᾶλλον δ᾽ ἐκεῖνο ποιήσω· ἀνα- g.
γνώσομαι μὲν ὑμῖν, ὡς ἐμαυτῷ γέγραμμαι; πάντα τὰ

---

κεῖ φοβεῖσθαι, μὴ [1]) διαφύγῃ, ἐν τούτοις μᾶλλον πα-ροξύνει τοὺς δικαστάς. τί [2]) γὰρ αὐτὸν ἀξιώσει [3]) συγγνώμης, διότι [4]) μικρότερα [5]) πεπόνθασιν οἱ ἄλλοι ὑπὸ Μειδίου, ἀλλ᾽ οὐ μᾶλλον ὀργισθήσεσθε [6]) διότι κατὰ πολλῶν γέγονε τοιοῦτος;

*Τό τ᾽ ἐμὸν καὶ τὸ τούτου προστεθέν.*] Μέτρον ἐλάμβανον ἐν τοῖς δικαστηρίοις ὕδατος οἱ ῥήτορες, οὗ πεπαυμένου ἐν τῷ ῥεῖν ἐπαύοντο λέγοντες, ἴσως, ἵνα μὴ φλυαρῶσιν ἀλλὰ τῶν ἀναγκαίων ἔχωνται μόνων. λέγει [7]) οὖν, ὅτι τῷ λείποντί μου ὕδατι (πολὺ γὰρ τῷ λέγειν ἀνάλωται), εἰ προστεθείη αὖθις πᾶν τὸ μέτρον τό τ᾽ ἐμοὶ δοθὲν καὶ ὃ δέδοται τῷ Μειδίᾳ, οὐκ ἂν ἐξαρκέσειε διηγουμένῳ μοι πάντα αὐτοῦ τὰ πλημμελήματα.

*Ὡς ἐμαυτῷ γέγραμμαι.*] Σύνηθες τοῦτο ποιεῖν Δημοσθένει, ὅταν πλῆθος ἐνδεῖξασθαι βούληται. ὡς γὰρ μὴ δυνάμενος ἕκαστα μνημονεύειν, ἐκ γραμματείου τὴν ἀνάμνησιν ποιεῖται. ἔχει γὰρ ἐν ὑπομνήμασι συντόμως αὐτοῦ τὰ ἀδικήματα, ὡς καὶ ἐν ἀρχῇ [8]) εἶπεν, ὅτι συνέλεξεν ἀφ᾽ ὧν ὑμῖν ἀναγινώσκων ἐρῶ παντοδαπὰ κακουργήματα.

1) με Herv. W. 2) τί] τίς W., διὰ τί Lut. 3) ἀξιώσετε Lut., vere; ἀξιώσειε W., sed debebat saltem ἂν αὐτὸν ἀξιώσειε scribi. 4) διότι] ἢ διότι Lut. 5) δεινότερα Lut. 6) ὀργισθείη coni. W. 7) λέγειν W. operarum errore. 8) cf. §. 23.

---

1) Ita Bu. Be., ἔγωγε Ftv et vulg. ante Bu. 2) πρὸς αὐτοὺς Bavar. 3) Ita Par. 1. Be., ὑπομείναιτ᾽ ἂν Ftv et vulg. ante Be., ὑπομενεῖτε Aug., ὑπομενεῖτ᾽ ΠΥΩkr, ὑπομενεῖτ᾽ ἂν s. 4) Ita Bav. Vind. et vulg. post Reisk., ὑμῶν vulg. ante Reisk., ἡμῖν vel ἐμοὶ coni. W. 5) φανερώτερα Bav.

ὑπομνήματα [1]· λέξω δ', ὅ τι ἂν [2]) πρῶτον ἀκούειν βουλομένοις ὑμῖν ᾖ, τοῦτο [3]) πρῶτον, εἶθ' ἕτερον, καὶ τἄλλα τὸν αὐτὸν τρόπον, ἕως ἂν ἀκούειν βούλησθε. ἐστὶ δὲ [4]) b. ταῦτα [5]) παντοδαπά, καὶ ὕβρεις πολλαὶ καὶ περὶ τοὺς οἰκείους κακουργήματα καὶ περὶ τοὺς θεοὺς ἀσεβήματα, καὶ τόπος οὐδείς ἐστιν [6]), ἐν ᾧ τοῦτον οὐ θανάτου πεποιηκότα ἄξια πολλὰ εὑρήσετε.

## ΥΠΟΜΝΗΜΑΤΑ [7]) ΤΩΝ [8]) ΜΕΙΔΙΟΥ ΑΔΙΚΗΜΑΤΩΝ.

131 Ὅσα μὲν τοίνυν ὦ [9]) ἄνδρες Ἀθηναῖοι [10]) τὸν ἀεὶ 37 προςτυχόντ' [11]) αὐτῷ [12]) πεποίηκε, ταῦτ' ἐστί. καὶ Bk.

---

*Καὶ ὕβρεις πολλας* [1]).] Τὴν γὰρ ἐξ Ἀρείου πάγου βουλὴν ὕβρισεν, εἰπὼν „μέλλετε [2]) καὶ τετύφωσθε."

*Καὶ περὶ τοὺς οἰκείους κακουργήματα.*] Κακουργήματα [3]) λέγει τὰ κατὰ Κρατῖνον [4]) τὸν συνίππαρχον. τοὺς γὰρ συνάρχοντας ὥςπερ οἰκείους νενομίκαμεν. μικρὸν γὰρ ὕστερον ἐρεῖ, ὡς ἵππαρχος ὢν πολλὰς κατὰ τῶν ἱππέων ἐποιεῖτο διαβολὰς συνὼν αὐτοῖς.

*Καὶ τόπος οὐδείς ἐστι.*] Τόπον νῦν λέγει [5]) οὐ Κεραμεικὸν [6]) οὐδὲ ἀγορὰν ἀλλὰ κατὰ τοὺς διαλεκτικοὺς τὸ ἐπιχείρημα. οὐδὲν γάρ, φησίν, ἐπιχείρημα οὐδὲ ἀφορμή τις ἀδικίας ἐστίν, ἢ κακίας εἶδος, ὃ οὗτος παραλέλοιπεν.

*Τὸν ἀεὶ προςτυχόντα αὐτῷ.*] Ἵνα μὴ ὡς ἀμυνόμενον τὸν ἠδικηκότα [7]) ποιῇ, ἀλλὰ τὸν ἀπαντῶντα [8]) ἁπλῶς βλάπτῃ.

1) πολλαὶ Lut. 2) μέλετε Ald. Herv. 3) κακ.] utroque loco ὑπομνήματα Ald. Herv. 4) An Κρατίνου τοῦ ἐπιπάρχου? sed ne hac quidem opus est mutatione. 5) λήγει Herv. 6) Erat κεραμικόν. 7) ἰδικηκότα Herv. 8) ἀπατῶντα Ald. Herv.

---

1) τὰ ὑπομν. πάντα kr. 2) ἂν om. Ω. 3) τοῦτο om. Ftv Bav. Ald. Herv. 1ma Wolf. 4) δὲ om. Ald. Herv. 1ma. 5) ταῦτ' ἀδικήματα πάντ' mavult Reisk. 6) Erat οὐδείς ἐστιν. 7) Titulum om. Aug. r, in mg. ponit Π. 8) τῶν τοῦ μειδίου v. 9) ὦ om. ks. 10) δικασταὶ Π. 11) προςτυχόντα vulg. ante Reisk. 12) προςτυχόνθ' αὐτῷ mavult Schaef.

παραλέλοιφ'[1]) ἕτερα· οὐ γὰρ ἂν δύναιτ'[2]) οὐδεὶς εἰςάπαξ[3]) εἰπεῖν, ἃ πολὺν χρόνον οὗτος ὑβρίζων συνεχῶς ἅπαντα τὸν βίον εἴργασται. ἄξιον δ' ἰδεῖν, ἐφ' ὅσον φρονήματος ἤδη b. προελήλυθε τῷ τούτων δίκην μηδενὸς δεδωκέναι. οὐ γὰρ ἡγεῖθ'[4]), ὡς ἐμοὶ δοκεῖ, λαμπρὸν οὐδὲ νεανικὸν[5]) οὐδὲ[6]) ἄξιον[7]) θανάτου[8]), ὅ τι ἂν τις[9]) πρὸς ἕνα εἷς διαπράττηται· ἀλλ' εἰ μὴ[10]) φυλὴν[11]) ὅλην [καὶ βουλὴν], καὶ

**Καὶ παραλέλοιφ'[1]) ἕτερα.**] Ἵνα μὴ δόξῃ ὡς φιλοπράγμων ἅπαντα περιεργάζεσθαι ἀκριβῶς, δείκνυσι πολλὰ παραλιπεῖν.

**Οὐδὲν[2]) ἄξιον θανάτου[3]).**] Οἷον ἄξιον γερῶν[4]) καὶ τιμῆς τοσαύτης, ὡς θανάτου τυχεῖν.

**Ἀλλ'. εἰ καὶ μὴ[5]) φυλὴν ὅλην καὶ βουλὴν καὶ ἔθνος.**] Διὰ τὸν χορὸν καὶ τὴν βουλὴν τὴν ἀρειοπαγιτικήν[6])· εἶπε γὰρ „τετύφωσθε", ὑβρίζων αὐτήν· ἔθνος δὲ νῦν τὸ τάγμα ἐμφαίνει τῶν ἱππέων. ἴσως δὲ φοβούμενος, μὴ ὡς ἱππάρχῳ βοηθήσουσι συστάντες[7]) οἱ ἱππεῖς, συγκρούειν[8]) πειρᾶται. ἅπερ δὲ ἐν τῷ γραμματείῳ ἀνέγνω, ταῦτα πάλιν κατὰ σχετλιασμὸν λέγει καὶ ἀναμιμνήσκει.

1) *παραλ.*] *πολλὰ παραλ.* Lut. 2) *οὐδὲ ἄξιον εἶναι* Lut. 3) *θανάθου* Herv. 4) Asterisoo notavit W. 5) *μὴ καὶ* W. 6) Ita W., *ἀρεοπαγίτην* Ald. Herv., *ἀρεοπαγίτιν* Lut. 7) Ita Lut., *στάντες* Ald. Herv., *παραστάντες* W. 8) *συγκ.*] *συγκ. τούτοις αὐτὸν* W. haud scio an de coni.

1) Ita Bu. Be. (nulla notata scripturae discrepantia) Bav. indices Ald. Herv. Felic. Paul. Wolf., *καὶ παραλέλοιπα ἕτερα* Aug., *καὶ πολλὰ ἕτερα παραλέλοιπα* vulg. ante Bu., *καὶ πολλὰ δ' ἕτερα παραλ.* coni. Reisk. 2) Ita Be., *δύνοιτ'* Aug., *δύναιτο* vulg. ante Be. 3) *ἅπαξ* pr. Σ. 4) *ἡγεῖσθ.* st Ald. Herv. 1ma sed hic verbum asterisco notatum. 5) *νεαν.*] Ita Be. et vulg. ante Reisk., *νεανικὸν οὐδὲν* YΩkrs Aug. Reisk. Bu. 6) *οὐδ'* Be., om. YΩs. 7) *ἄξιον*] Ita Aug. et plerique librorum Bekkeri Bu. Be., *ἄξιον εἶναι* vulg. ante Bu. et Ftv. 8) Pro *θανάτου* Bu. coni. *αὐτοῦ*, om. vult Schaef. 9) *τι* Bav. 10) *εἰ μὴ καὶ φυλὴν* Lut. Reisk. 11) *φυλὴν*] *βουλὴν* r; hinc Schaef. coni. *εἰ μὴ φυλὴν ὅλην καὶ ἔθνος* esse scribendum, id quod mihi quoque probatur.

ἔθνος προπηλακιεῖ καὶ πολλοὺς ἀθρόους 1) ὑμῶν ἅμα ἐλᾷ,
132 ἀβίωτον ᾤετο 2) "ἔσεσθαι τὸν βίον ἑαυτῷ 3). καὶ τὰ μὲν 558
ἄλλα σιωπῶ 4) μυρία 5) εἰπεῖν ἔχων 6), περὶ δὲ τῶν συ- R.
στρατευσαμένων ἱππέων εἰς Ἄργουραν 7) ἴστε δήπου πάν-
τες οἷα ἐδημηγόρησε παρ' ὑμῖν, ὅθ' ἧκεν ἐκ Χαλκίδος, κα-
502 Bk. τηγορῶν "καὶ φάσκων ὄνειδος ἐξελθεῖν τὴν στρατιὰν 8)
ταύτην τῇ πόλει· καὶ τὴν λοιδορίαν, ἣν 9) ἐλοιδορήθη 10)
Κρατίνῳ 11) περὶ τούτων 12), ὡς ἐγὼ πυνθάνομαι, μέλ-
λοντι βοηθεῖν αὐτῷ 13), μέμνησθε. τὸν δὴ 14) τοσούτοις

---

*Περὶ δὲ τῶν συστρατευσαμένων ἱππέων.*] Βούλεται τοὺς συνηγόρους αὐτοῦ παρελέσθαι, καὶ ἐπειδὴ δέδοικε τὸ τάγμα τῶν ἱππέων, μὴ ὡς ἱππάρχῳ βοηθήσουσι, δείκνυσι κἀκείνους ὑβρισμένους ὑπὸ Μειδίου. Συστρατιώτην δὲ εἶπεν αὐτὸν καὶ οὐχ ἵππαρχον· ἐπειδὴ γὰρ καὶ ἵππαρχοι συστρατεύονται 1) τοῖς ἱππεῦσιν, ἐκ τῆς κοινωνίας τῆς κατὰ τὴν στρατείαν αὐτὸν ὠνόμασε.

*Καὶ τὴν λοιδορίαν ἣν ἐλοιδορήθη Κρατίνῳ.*] Στρατηγὸς ἦν οὗτος τοῦ πεζοῦ 2). τοῦ δὲ Μειδίου κατηγοροῦντος τῶν ἱππέων, ὁ Κρατῖνος, ἅτε καὶ αὐτὸς ἵππαρχος 3) ὤν, ἀντέλεγε καὶ βοηθεῖν αὐτοῖς 4) ἐπειρᾶτο· καὶ τοῦτον 5) οὖν ὕβριζε.

1) Ita W., στρατεύονται vulg. 2) Debebat dicere τοῦ ἱππικοῦ, sive Midiam intelligebat sive Cratinum. 3) Hoc asterisco notavit W. 4) Ita W. et mg. Lut., αὐτῷ vulg. 5) Ita W. de coni. et Lut., τοῦτο vulg.

---

1) ἀθρόους ΠΥ Be. 2) ᾤετ' Be., ὤεται r, ὤετ' s. 3) Ita Aug. Reisk. Bu. Be. (nulla notata scripturae discrepantia), αὑτῷ vulg. ante Reisk., αὐτῷ Herv. 1ma. 4) σιοπῶ Herv. 1ma. 5) Ita Be., μυρία ἂν ἔχων εἰπεῖν Fkrtv et vulg. ante Be. 6) ἔχον Herv. 1. 7) Ἄρουραν pr. Ω. 8) στρατείαν ΠΥΩs. 9) ἣν om. F. 10) ἐλοιδορέθη Herv. 1ma. 11) Κρατίωνι Indd. Ald. Herv., unde Schaef. coni. Ἀρχετίωνι. 12) τούτων τῷ νῦν ὡς ἐγὼ Felic. Paul. Herv. 2da mg. Berol. Wolf. Bu.; Buttm. τῷ νῦν in Σ a recentiori manu superscripta esse narrat, id quod reticuit Bekk. 13) Ita Reisk. Be., αὐτῷ Bu. et vulg. ante Reisk. 14) δὲ Bu., fortasse operarum errore.

ἀθρόοις [1]) τῶν πολιτῶν ἔχθραν ἐπ' οὐδενὶ τηλικαύτην ἀράμενον πόσῃ πονηρίᾳ καὶ θρασύτητι ταῦτα χρὴ νομίζειν
133 πράττειν; καίτοι πότερ' [2]) εἰσὶν ὦ Μειδία [3]) ὄνειδος τῇ d.
πόλει οἱ διαβάντες ἐν τάξει καὶ τὴν σκευὴν ἔχοντες, ἣν [4]) προςῆκε τοὺς ἐπὶ τοὺς πολεμίους ἐξιόντας καὶ συμβαλουμένους [5]) τοῖς συμμάχοις, ἢ σὺ ὁ μὴ [6]) λαχεῖν εὐχόμενος τῶν ἐξιόντων, ὅτ' [7]) ἐκληροῦ [8]), τὸν θώρακα δὲ οὐδεπώποτ' [9]) ἐνδύς, ἐπ' ἀστράβης [10]) δὲ ὀχούμενος ἀργυρᾶς [11])

*Καίτοι πότερ' εἰσὶν ὄνειδος ὦ Μειδία.*] Τοῦτο σύνηθες Δημοσθένει, ὅταν ἐξέληταί τινα κατηγορούμενον, ἀντιπεριτρέπειν τῶν κατηγόρων [1]) τὰ ὀνόματα.

*Οἱ διαβάντες ἐν τάξει.*] Ὅταν μὴ ἔχῃ [2]) στρατιώτας [3]), ἐκ τροπαίων ἐπαινεῖν, τὴν γνώμην αὐτῶν θαυμάζει καὶ τὴν ἀξίαν, ὥςπερ ἐν τῷ περὶ στεφάνου [4]) μὴ ἔχων τοὺς ἐν Χαιρωνείᾳ σεμνύνειν ἐπὶ τοῖς κατορθώμασιν, ἀπὸ τῶν πρὸ [5]) τῆς μάχης αὐτοὺς ἐπῄνεσε, τῷ κόσμῳ, ταῖς παρασκευαῖς, τῇ προθυμίᾳ.

*Ἐπ' ἀστραβῆς δὲ ὀχούμενος.*] Εἶδος καθέ-

1) τῷ κατηγόρῳ τὰ ἀδικήματα W. de coni., ἐγκλήματα mg. Lut. 2) Ita Lut., ἔχειν Ald. Herv., ἔχει W. 3) στρ.] τοὺς στρατ. W. 4) cf. p. 300, 18 R. 5) Ita Ald. Lut. W., πρὸς Herv.

---

1) ἀθρόοις Be. 2) πότεροι Barocc. Aug. kr Reisk. Bu. 3) ὄνειδος ὦ Μειδία Bu. Be., non monito lectore. 4) Reisk. mavult ἣν ἔχειν προςῆκε. 5) Ita Aug. Bav. et vulg. post Reisk., συμβαλλομένους s et vulg. ante R., συμβαλομένους Ω et rc. Y, ἐξιόντ. καὶ συμβ. om. pr. Y. 6) Ita Be. ex Σ, μηδὲ vulg., μὴ δὲ Herv. et sic saepius. 7) ὅτε vulg. ante R. 8) Ita Aug. et vulg. post Reisk., ἐκλήρου vulg. ante R., οὐχ ὡς ὑπὲρ ἡμῶν ἐκλήρους vel ἐκληροῦ index Lambini, sed cave ne cum Wolfio haec pro scriptura codicis Lut. vel pro coniectura habeas Lambini; significatur enim, damnare se scripturam editionum Lutetiana priorum ἐκλήρους vel ἐκληροῦ. 9) οὐδεπώποτε vulg. ante Reisk. 10) Harpocr. v. 11) ἀργ. — Εὐβ.] Ita Hellad. ap. Phot. (p. 1589 pr. R. 533, a 34 Bekk.) Σ et γρ. k Bu. Be., ἐξ ἀργυρᾶς τῆς ἐξ εὐβοίας mg. Lut. Ulpian., ἀργούρας τῆς ἐξ Εὐβοίας Vind. Ital. Lindenbr. ΠΥΩs, ἐξ ἀργούρας τῆς εὐβοίας vulg. ante Bu. Schaeferus verba ἐξ ἀργούρας τῆς εὐβοίας pro glossemate habet, quamquam eam scripturam tueatur etiam Herodiani auctoritas.

τῆς ἐξ Εὐβοίας, χλανίδας δὲ καὶ [1]) κυμβία [2]) καὶ κάδους ἔχων, ὧν ἐπελαμβάνοντο [3]) οἱ πεντηκοστολόγοι [4]); ταῦτα

---

δρας [1]), παρὰ τὸ μὴ στροβεῖσθαι μηδὲ στρέφεσθαι. ἔστι δὲ ἐπὶ πλεῖστον εἰς ὕψος ἀνῆκον, ὥςτε [2]) τῶν καθεζομένων ἀνέχειν τὰ νῶτα. χρῶνται δὲ αὐτῷ μάλιστα αἱ γυναῖκες. ἐπισκώπτει δὲ διὰ τούτου [3]) εἰς μαλακίαν καὶ ἀσθένειαν τὸν Μειδίαν. εἶθ' ἵνα μὴ ἀντιπέσῃ, „τί οὖν, εἰ κακωθεὶς ἐχρήσατο ταύτῃ τῇ καθέδρᾳ"; προςέθηκεν „ἐξ ἀργυρᾶς [4])"· τὸ γὰρ ἠργυρῶσθαι τὴν κάθεδραν δεῖγμα ἦν τοῦ ἐπιτηδεύοντος καὶ ἐντρυφῶντος τούτῳ τῷ εἴδει. τὸ δὲ καὶ „ἐξ Εὐβοίας", ὅτι μὴ εἰωθότων τῶν Ἀθήνησι τοιαύτας ἐργάζεσθαι αὐτὸς ἐξ Εὐβοίας ὠνήσατο. ἡ δὲ δημώδης „ἐξ Ἀργούρας" ἔχει, ἀπὸ τόπου τῆς Εὐβοίας. ἀλλὰ τὰ ἑξῆς δηλοῖ, ὅτι μαλακίαν αὐτῷ καὶ τρυφὴν ὀνειδίζει, χλανίδας λέγων καὶ ἱμάτια τρυφερὰ καὶ σκεύη ἐπιτήδεια πρὸς ἀνειμένον βίον. (Ἐξ Ἀργούρας.] Παρὰ Μενάνδρῳ [5]) Ἀργυρᾶς. Ἄλλως· Ἄργουρα πόλις Εὐβοίας. ἀστράβη εἶδος καθέδρας. κυμβίον [6]) εἶδος περικεφαλαίας καὶ [7]) ἐκπώματος, ὅπερ [8]) ἐπίμηκες καὶ στενὸν καὶ τῷ σχήματι παρόμοιον τῷ πλοίῳ, ὃ καλεῖται κυμβίον. φέρων δὲ τὴν χρῆσιν τῆς λέξεως ὁ [9]) Ἡρωδιανὸς ἐν τῷ καθόλου φησί· ῥυτὰ [10]), καὶ κυμβία καὶ φιάλας. B.)

Χλανίδας δὲ καὶ κυμβία καὶ κάδους.] Χλανίδας μὲν τὰς Μιλησίας, κυμβία δὲ εἶδος ἐκπωμάτων, κάδος δὲ γυναικεῖον ἀγγεῖον, ᾧ χρῶνται πρὸς τὰς ἀρύσεις [11]) τῶν ὑδάτων ἢ τὰς νῦν σίτλας [12]).

Πεντηκοστολόγοι.] Τὰ μὲν πολεμικὰ σκεύη

1) καθ.] καθέδρας ἀστραβὴ Lut. 2) Ita W. et Lut., οὕς τε Ald. Herv.. 3) τοῦτο Buttm. 4) ἀργυρᾶς Lut., ἐξ delevit W. 5) Si locus sanus — erat enim cum coniicerem: παρὰ μὲν ἄλλῳ ἀντιγράφῳ, vel παλαιὰ μὲν ἀντίγραφα, vel παλαιῷ μ. ἀντιγράφῳ — sed si sanus, spectat non ad Menandrum grammaticum (cf. Meineke Menandr. et Philem. p. XXXIX) sed ad M. rhetorem, de quo dixi Prooem. p. XIX. 6) κυμβίον — φιάλας] Hoc scholion legitur etiam in Lut. 7) καὶ] ἢ εἶδος Lut. 8) ὅπερ om. Lut. 9) ὁ om. Lut. 10) ῥητὰ Lut. 11) Ita W., ῥύσεις vulg. 12) Cf. Chapmann. obss. in Comm. Ulp. p. XXIII (ed. Mounteney).

---

1) δὲ om. Felic. Herv. 2da Paul. et uncis circumscripsit Reisk., δὲ καὶ om. Aug.'kr. 2) κυμβεῖα Aug. kr. Citatur ab Macrob. 5, 21. 3) ἀπελαμβάνοντο Bav. 4) Harpocr. Phot. v. πεντηκοστή.

γὰρ εἰς τοὺς ὁπλίτας ἡμᾶς [1]) ἀπηγγέλλετο [2])· οὐ γὰρ εἰς
34 ταὐτὸν [3]) ἡμεῖς τούτοις διέβημεν. εἶτα εἴ σε ἐπὶ [4]) τού- e.
τοις ἔσκωψεν [5]) Ἀρχετίων ἤ [6]) τις ἄλλος, πάντας ἤλαυνες; εἰ μὲν γὰρ ἐποίεις ταῦτα [7]) ὦ Μειδία, ἅ σέ φασιν οἱ συνιππεῖς καὶ κατηγόρεις ὡς λέγοιεν περὶ σοῦ, δικαίως κακῶς [8]) ἤκουες· καὶ γὰρ ἐκείνους καὶ τουτουσὶ [9]) καὶ ὅλην

---

οὐκ ἐτελώνουν, ὅσα δὲ ἦν εἰρηνικὰ καὶ πρὸς τρυφὴν συντελοῦντα κατεῖχον. (Πεντηκοστὴ καὶ πεντηκοστολόγοι καὶ πεντηκοστεύεσθαι. πεντηκοστὴ μὲν τὸ τέλος, ὃ τελοῦσι, πεντηκοστολόγοι δὲ οἱ τοῦτο ἐκλέγοντες, πεντηκοστεύεσθαι δὲ τὸ πράττεσθαι τὴν πεντηκοστήν [1]). καὶ λαβόμενος ἦγεν ἀθύτου πεντηκοστολογίου. κάδος δὲ μέτρον οἰνηρόν. B.)

**Ταῦτα γὰρ εἰς τοὺς ὁπλίτας ἡμᾶς.**] Ἐν καιρῷ τὸν οἰκεῖον εἰςήγαγεν ἔπαινον. οἱ γενναιότεροι γὰρ ἐν τοῖς ὁπλίταις τάττονται. οὐκοῦν οὐκ ἔστι λειποτάκτης ὁ Δημοσθένης ἀλλὰ καὶ ἀνδρεῖος.

**Εἴ σε ἐπὶ τούτοις ἔσκωψεν.**] Εἷς τῶν ἱππέων, κωμικώτερος ὤν, ἀπέσκωψεν εἰς ταύτην αὐτοῦ τὴν τρυφήν.

**Εἰ μὲν γὰρ ἐποίεις ταῦτα ὦ Μειδία.**] Διλημμάτῳ [2]) κέχρηται, οὗ τὸ μὲν πρῶτον μέρος ἀκολουθίαν ἔχει, τὸ δὲ δεύτερον σεσόφισται. εἰ ταῦτα ἐποίεις, δικαίως κακῶς ἤκουες. ὃ [3]) δὲ εἰς ἕτερον περιήγαγεν, „εἰ δὲ μὴ ποιοῦντός σου ἕτεροι ἀκούοντες ἐπέχαιρον, ἄξιος ἦσθα διὰ τὸν ἄλλον βίον ταῦτα ἀκούειν.“ παρολκῇ [4]) γὰρ χρησάμενος, τὴν ἀκολουθίαν ἐσοφίσατο.

1) Haec ex Harpocrat. Phot. Suid., quae autem sequuntur, ex solo Suida hausta sunt, unde patet, legendum esse πεντηκοστολόγιον. „καὶ λαβόμενος ἦγεν εὐθὺ τοῦ π.“ 2) διλλημάτῳ Ald. Herv., διλημμάτῳ W. 3) τὸ δὲ mg. Lut. ὃ — περιήγ. corrupta videntur. 4) „Non satis assequor, quid παρολκὴν vocet, utrum διατριβὴν καὶ ἀναβολὴν an παρατροπὴν καὶ παρέκκλισιν.“ W.

---

1) ὑμᾶς Ald. Herv. Wolf. 2) ἐπηγγέλλετο Aug. kr. 3) ταὐτὸ ΠΥs. 4) ἐπὶ om. s. 5) εἰςκώψομεν Σ. 6) ἢ] εἰ F et vulg. ante Tayl. 7) ταῦτα πάντα Par. 5. 8) δ. καὶ κακῶς Ω, καλῶς Paul. 9) τούτους tv et vulg. ante Reisk.

τὴν πόλιν ἠδίκεις καὶ κατῄσχυνες. εἰ δὲ μὴ ποιοῦντός σου 1) 1.
κατεσκεύαζόν 2) τινες καταψευδόμενοί σου, οἱ δὲ λοιποὶ
τῶν στρατιωτῶν οὐκ ἐκείνοις ἐπετίμων ἀλλά σοι ἐπέχαι-
ρον 3), δῆλον ὅτι ἐκ τῶν ἄλλων ὧν ἔζης ἄξιος [αὐτοῖς 4)]
ἐδόκεις εἶναι τοῦ τοιαῦτ' 5) "ἀκούειν· σαυτὸν οὖν μετριώ- 538
135 τερον ἐχρῆν παρέχειν, οὐκ ἐκείνους διαβάλλειν. σὺ 6) δ' R.
ἀπειλεῖς πᾶσιν, ἐλαύνεις πάντας, τοὺς ἄλλους ἀξιοῖς, ὅ τι
σὺ 7) βούλει, σκοπεῖν, οὐκ αὐτὸς σκοπεῖς, ὅ τι μὴ λυπή-
σεις 8) τοὺς ἄλλους ποιῶν. καὶ τὸ δὴ σχετλιώτατον 9) καὶ
μέγιστον ἔμοιγε 10) δοκοῦν ὕβρεως εἶναι σημεῖον, τοσούτων
503 ἀνθρώπων "ὦ μιαρὰ κεφαλὴ σὺ παρελθὼν ἀθρόων 11)
Bk. κατηγόρεις 12), ὃ 13) τίς οὐκ 14) ἂν ἔφριξε ποιῆσαι τῶν
ἄλλων 15);
136 Τοῖς μὲν τοίνυν ἄλλοις ἅπασιν ἀνθρώποις 16) ὁρῶ 38 Bk.

---

*Καὶ τὸ δὴ σχετλιώτατον καὶ μέγιστον.*] Ὁ λέγων ἐπαύσατο 1), τοῦτο εἰς κοινὸν εἰσάγει. τοσούτων, φησίν, ἀνθρώπων ἀθρόως κατηγορεῖς. λέγει δὲ τῶν ἱππέων, ὅπερ μέχρι νῦν ἐξήταζε. τίς οὖν ἡ παραλλαγὴ τούτων; ὅτι ἐκεῖ μὲν ὀνομαστὶ τοὺς ἱππέας εἶπεν, ἐνταῦθα δὲ ἀορίστως πλῆθος ἀνθρώπων ὠνόμασεν.

1) ἐφθάσατο mg. Lut.

---

1) σου καὶ κατ' s. 2) κατεχλεύαζον coni. Lambin. Taylor. Orelli. 3) ἐπεχείρουν Σ. 4) αὐτοῖς ante ἄξιος ponunt ΠΥΩι, post ἐδόκεις kr. 5) τοιαῦτ'] τοιαῦτα vulg. ante Be., τὰ τοιαῦτα kr Aug. Vind. Lindenbr. Barocc. 6) σὺ δ' ἀπειλεῖς πᾶσιν Bekk. Anecd. 120, 29. 7) σοι k Aug. 8) Ita Ven. Barocc. Ital. Aug. Bav. corrector Weimaranus Bu. Be., λυπήσῃς s et vulg. ante Bu., λυπήσας Ald. Herv. 1ma, λυπήσαις mg. Lut. 9) σχετλιώτατον Wolf. et vulg. ante Lut. 10) ἔμοιγε om. r. 11) Ita vulg. post Lut., ἀθρόον krtv Aug. Bav. Ald. Herv. 1. 2. Felic. Paul. Wolf., ἀθρόων Dind. 12) κατηγορεῖς Bav. Frst. 13) ὃ] ὅτι s, ὅτις Ald. Herv. 1ma. 14) οὐκ om. Ald. Herv. 1ma. 15) τῶν ἄλλων ποιῆσαι kr. 16) ἀνθρώποις om. k Aug., id quod probat Spald.

τοῖς κρινομένοις ὦ ἄνδρες δικασταὶ ἓν μὲν ἢ δύο ὄντα [1]) τἀδικήματα, ἃ κατηγορεῖται [2]), λόγους δὲ ἀφθόνους τοιούτους ὑπάρχοντας „τίς ὑμῶν ἐμοί τι σύνοιδε τοιοῦτον; τίς [3]) ὑμῶν ἐμὲ ταῦθ᾽ [4]) ἑώρακε [5]) ποιοῦντα; οὐκ ἔστιν, ἀλλ᾽ οὗτοι δι᾽ ἔχθραν καταψεύδονταί [6]) μου, καταψευδομαρτυροῦμαι", τὰ [7]) τοιαῦτα· τούτῳ [8]) δ᾽ αὖ τἀναν-
37 τία τούτων. πάντας γὰρ ὑμᾶς εἰδέναι [9]) νομίζω τὸν τρό- b.
πον τὸν τούτου [10]) καὶ [11]) τὴν ἀσέλγειαν [12]) καὶ τὴν ὑπερηφανίαν τοῦ [13]) βίου, καὶ πάλαι θαυμάζειν ἐνίους οἴομαι [14]) ὧν αὐτοὶ μὲν ἴσασιν, οὐκ ἀκηκόασι δὲ νῦν ἐμοῦ. πολλοὺς δὲ τῶν πεπονθότων οὐδὲ πάνθ᾽, ὅσα ἠδίκηνται,

---

*Τίς ὑμῶν ἐμοί τι σύνοιδεν.*] Ἅπερ [1]) ἔλεγεν [2]) ὁ Μειδίας, ταῦτα προλαβὼν αὐτὸς κατὰ τὴν ἀναίρεσιν εἰςήγαγεν [3]), „ὅτι οὐδέν [4]) ἐστιν αὐτῷ συνήθη ταῦτα", „ἐπεὶ [5]) δι᾽ ἔχθραν καταψευδομαρτυροῦμαι", „τοιοῦτον γὰρ οὐδὲν [6]) ἴστε ὑμεῖς".

(*Καταψεύδονται.*] Καταψεύδομαι γενικῇ. B.)

*Οὐκ ἀκηκόασι δὲ νῦν.*] Δεινότητα ἔχει τὸ [7]) ἐπιχείρημα, εἴγε μέμψονταί τῷ κατηγόρῳ τινές, ὡς οὐκ εἶπεν, ἃ ἴσασιν αὐτοὶ τοῦ Μειδίου ἀδικήματα.

*Οὐδὲ πάνθ᾽ ὅσα ἠδίκηνται.*] Ἄλλο βαρύτερον, ὅτι φοβοῦνται [8]) δημοσιεῦσαι οἱ πεπονθότες ἃ Μειδίας ἐποίησεν. εἰ γὰρ ἐρεῖ ἕκαστος, πείσεταί τι δεινότερον ὁ φθεγγόμενος.

1) Ita W. pro ὅπερ. 2) ἔλεγεν ἂν W., recte. 3) εἰςάγαγεν W. 4) οὐκ coni. W. 5) ὅτι δι᾽ coni. W. 6) οὐδὲν ἐμοὶ σύνιστε Lut., placet. 7) τὸ add. W. de coni. et Lut. 8) φοβοῦται Ald.

---

1) ὄντα om. Bav. 2) Ita Σ kr. Aug. Bu. Be., κατηγοροῦνται vulg. ante Bu. 3) τίς] ἢ τίς Aug. Barocc. r. 4) τοιαῦθ᾽ mavult Tayl. 5) ἑόρακε Ω. 6) κατ. μου] καὶ ψεύδονταί μου καὶ s. 7) τὰ om. Bav., ἐκείνοις ante τὰ τοιαῦτα excidisse coni. Markl. 8) τούτω Herv. 1ma. 9) εἰδέναι ὑμᾶς kr. 10) τὸν τούτου om. Σkr Aug. 11) τούτου καὶ om. Π. 12) καὶ τὴν ἀσέλγειαν om. F Bav. 13) τοῦ] Ita Aug. Vind. Barocc. Ven. Lind. Ital. et vulg. post Reisk., τὴν τοῦ F et vulg. ante R. 14) οἶμαι Aug.

μαρτυρεῖν ἐθέλοντας ὁρῶ, τὴν βίαν καὶ τὴν φιλοπραγμοσύνην ὀῤῥωδοῦντας [1]) τὴν τούτου καὶ τὴν ἀφορμήν, ἥπερ ἰσχυρὸν ποιεῖ καὶ φοβερὸν [2]) τὸν κατάπτυστον τουτονί [3]).
138 τὸ γὰρ [4]) ἐπ' ἐξουσίας [5]) καὶ πλούτου πονηρὸν [6]) εἶναι καὶ c.
ὑβριστὴν τεῖχός ἐστι πρὸς τὸ μηδὲν ἂν [7]) αὐτὸν [8]) ἐξ ἐπιδρομῆς παθεῖν· ἐπεὶ περιαιρεθεὶς [9]) οὗτος τὰ ὄντα ἴσως μὲν οὐκ [10]) ἂν ὑβρίζοι, εἰ δ' ἄρα, ἐλάττονος ἄξιος ἔσται τοῦ μικροτάτου παρ' ὑμῖν· μάτην γὰρ λοιδορήσεται καὶ βοήσεται, 560 R.
δίκην δ', ἂν ἀσελγαίνῃ τι, τοῖς ἄλλοις ἡμῖν [11]) ἐξ ἴσου
139 δώσει. νῦν δ', οἶμαι, τούτου [12]) προβέβληται [13]) Πολύευ- d.

---

*Μηδὲν ἂν αὐτὸν ἐξ ἐπιδρομῆς* [1]).] Ἐκ τοῦ εὐθέως καὶ [2]) εὐκόλως ἐπιδραμόντα. πραγματείας γὰρ δεῖ πολλῆς, ἵνα διαῤῥήξῃ τις [3]) τῆς δυναστείας τὸ τεῖχος. προβέβληνται γὰρ αὐτοῦ καὶ τειχίζουσιν αὐτόν.

*Μάτην γὰρ λοιδορήσεται.*] Δείκνυσιν ὁ Δημοσθένης, ὅτι τὰς παρὰ [4]) τῶν πλουσίων ὕβρεις μάλιστα χρὴ χαλεπὰς νομίζειν. ἐὰν γάρ, φησί, περιαιρεθῇ τὰ ὄντα, κἂν ὑβρίζῃ, μάτην βοήσεται· τῶν γὰρ οἰκτρῶν καὶ τῶν ἀπεῤῥιμμένων [5]), κἂν τὰ αἴσχιστα λέγωσι, καταφρονεῖν εἰώθαμεν.

*Νῦν δὲ οἶμαι τούτου προβέβληται* [6]).] Κατ' ὀλίγον αὐτοῦ περικόπτει τοὺς συνηγόρους, τοὺς μὲν ἱππέας

1) ἐπιδρ.] ἐπιδρ. παθεῖν Lut. 2) καὶ addidi ex Lut. 3) τις add. W. et Lut. 4) περὶ Ald. Herv. 5) Ita Lut., ἀπεῤῥιμμένων vulg. 6) Ita Ald. Herv., προβέβληνται vulg.

---

1) ὀῤῥωδοῦντας coni. Tayl., in consequentiam verborum receperunt Sp. Bu. Be., δεδιότας Ven. Barocc. Aug. kr, ὁρῶντας vulg. ante Bu., Dind., quem tamquam cautiorem hoc nomine laudat Schaef. 2) Ita Bu. Be., καὶ φοβερὸν ποιεῖ Fkstv et vulg. ante Bu. 3) τοῦτον ΠΥΩs. 4) τὸ γὰρ — προβέβληνται Tiber. de fig. p. 41. 5) ἐξουσίαις καὶ πλούτῳ id. 6) πονηρὸν] θρασὺν Aug. kr. 7) ἂν om. Tiber. kr. 8) αὐτὸν om. Tiber. 9) περιαιρεθείς γε Tiber. 10) οὖν Lut. 11) ὑμῖν k. 12) τοῦτο Tiber. 13) Ita Tiber. schol. et Be., προβέβληνται Fkrtv et vulg. ante Be.

κτος [1]), Τιμοκράτης, Εὐκτήμων ὁ κονιορτός· τοιοῦτοί τινές εἰσι μισθοφόροι περὶ αὐτόν, καὶ πρὸς ἔτι ἕτεροι τούτοις [2]), μαρτύρων συνεστῶσα ἑταιρία [3]), φανερῶς μὲν οὐκ ἐνοχλούντων ὑμῖν [4]), σιγῇ δὲ τὰ ψευδῆ ῥᾷστα [5]) ἐπι-

---

τῷ τρόπῳ τῷ προειρημένῳ, τοὺς δ' ἄλλους διὰ τοῦ κακίζειν. ἐπειδὴ γὰρ ἐγχωρεῖ τὸν Μειδίαν καὶ εἰς μαρτυρίαν τινὰς τούτων παραγαγεῖν, προδιαβάλλει τὴν ποιότητα αὐτῶν, μισθοφόρους καλῶν καὶ ἑταιρίαν τὸ κατ' αὐτούς, ἵνα μὴ διὰ τούτων λάβῃ χώραν ἡ μαρτυρία. τίς γὰρ πιστεύσει [1]) τούτοις, οἳ κολακεύειν τὸν Μειδίαν εἰώθασιν; κατὰ μικρὸν δὲ εἰς τυραννίδα ἀναφέρει τὸ πρᾶγμα· ὅπου γὰρ μισθοφόροι καὶ δορυφόροι, τὰ τῆς ὑπονοίας ἐγγύς.

Εὐκτήμων ὁ κονιορτός.] Ὃν ἐμισθώσατο κατήγορον.

Μαρτύρων συνεστῶσα ἑταιρία.] Ἀμιλλῶνται [2]) πρὸς τοὺς κατηγόρους οἱ μάρτυρες, οἱ μὲν ποιοῦνται γραφήν, οἱ δὲ τὴν πίστιν σοφίζονται. διὰ τοῦτο γὰρ καὶ „συνεστῶσα" εἶπεν, ἵνα μάθῃς τοῦ συγκροτήματος τὴν μανίαν. „γράφου θαρσῶν ὦ Τιμώκρατες [3])," βοῶσιν οἱ μάρτυρες, „κἂν δυσχεραίνῃς περὶ τὸν ἔλεγχον, ἐγὼ τῇ μαρτυρίᾳ τοὺς δικαστὰς ἀπ' αὐτῶν [4])."

Φανερῶς μὲν οὐκ ἐνοχλούντων.] Ἐφοβοῦντο γὰρ ψευδομαρτυρίας ἁλῶναι, φανερῶς ἀναισχυντοῦντες.

Σιγῇ δὲ τὰ ψευδῆ ῥᾷστ' ἐπινευόντων.] Οἱ γὰρ ἔξωθεν σπουδάζοντες, ἐπειδὰν ὁ κατήγορος λέγῃ τὰ ἀδικήματα, λάθρα καὶ πόῤῥωθεν ἀνανεύουσι τοῖς δικασταῖς, ἐνδεικνύμενοι μηδὲν ἀληθὲς εἶναι τῶν λεγομένων. ῥᾷστον δὲ τὸ τοιοῦτον καὶ ἀκίνδυνον.

1) πιστεύσειε W. 2) ἀμιλλῶνται Ald. Herv. 3) ὦ Μειδία W. de coni., qui in annotatione haec subiecit: „etsi nec hoc placet. Euctemonem prius accusatorem subornatum fuisse dicit". Una vera est vulgata scriptura. τιμόρκατες Lut. 4) ἀπ' αὐτῶν] ἀπατήσω W. de coni., ἀπατῶν βοηθήσω mg. Lut.

---

1) Πολύευκτος in mg. Σ, πολύευκτον ΥΩs. 2) Ita Aug. et Be., πρὸς ἔτι τούτοις ἕτεροι Ftv et vulg. ante Be. 3) ἑταιρεία pr. Σ et corr. kv. 4) Ita Aug. et vulg. post Reisk., ἡμῖν t et vulg. ante Reisk. 5) ῥᾷστ' Be.

νευόντων. οὓς μὰ τοὺς θεοὺς οὐδὲν ὠφελεῖσθαι νομίζω
504 Bk. "παρὰ τούτου· ἀλλὰ δεινοί τινές [1]) εἰσιν ὦ ἄνδρες Ἀθη-
ναῖοι φθείρεσθαι πρὸς [2]) τοὺς πλουσίους καὶ παρεῖναι καὶ
140 μαρτυρεῖν. πάντα δὲ ταῦτ' [3]), οἶμαι, φοβερά ἐστι τῶν
ἄλλων ὑμῶν ἑκάστῳ [4]), καθ' ἑαυτὸν ὅπως δύναται ζῶντι.
οὗπερ ἕνεκα συλλέγεσθε [5]) ὑμεῖς, ἵνα, ὧν καθ' ἕνα ἐστὶν

---

*Οὓς μὰ τοὺς θεούς.*] Μισθοφόρους εἰπὼν ἐφοβήθη, μὴ πρὸς τὸν μισθὸν ἀπίδωσιν οἱ δικασταί, ὡς εἰωθότος τοῦ Μειδίου χρήματα διδόναι τοῖς συναγωνιζομένοις. ἵνα μὲν οὖν μὴ πρὸς τὸ κέρδος οἱ δικασταὶ χαυνωθῶσι, μεθ' ὅρκου τὴν ἄρνησιν ἐποιήσατο, μηδὲν ὠφελεῖσθαι παρ' αὐτοῦ τοὺς σπουδάζοντας. καὶ ἄλλως προςπίπτον [1]) ἀναιρεῖ· „ἴσως ἐπανορθοῖ τὸν βίον αὐτοῖς, παραμυθεῖται τὴν ἔνδειαν, διὸ καὶ αὐτοὶ σῴζουσιν ὡς εὐεργέτη τὴν εὔνοιαν ἐν ταῖς χρείαις διακονούμενοι". ἐκβάλλει τοίνυν ὅρκῳ τὴν δόξαν.

*Ἀλλὰ δεινοί τινές εἰσιν.*] Ἕτερον αἴτιον εἰςάγει καὶ πάθος, ἀλλὰ πεφύκασί τινες συνάπτειν ἑαυτοὺς τοῖς πλουσίοις καὶ κολακεύειν καὶ ὑπηρετεῖν εἰς ἃ βούλονται, ὃ [2]) δὴ [3]) καὶ φθείρεσθαι ὀνομάζει [4]). φθορὰ γὰρ τὸ ταῖς τῶν ἄλλων ἕπεσθαι γνώμαις, ὅθεν ἐπάγει, ὡς οὐκ ἀνεκτὰ ταῦτα τοῖς ἐλευθέροις καὶ μετρίοις [5]) τὰ συγκροτήματα [6]). ὑποπτεύεται γὰρ ταχέως. Τὸ δὲ [7]) ἰσχυρότερον ἀποφαίνων τῶν δικαστηρίων [8]). εἰ γὰρ ἰδίᾳ [9]) ὑμῶν ἕκαστος ἡττᾶται τῶν πλουσίων, ἀλλ' ὅταν εἰςίητε κρίνοντες [10]) κύριοι ὄντες τοῦ δικαστηρίου, κυριώτεροί ἐστε τοῦ διαφθεῖραι καὶ λῦσαι αὐτῶν τὴν δύναμιν.

1) Malim μὴ ἐπέδωκε. 2) Ita W. de coni., σκεπτέσθω vulg. 3) π. ἐ.] Hoc W. lemma constituit. 4) οὐκ] δ' οὐκ Lut. 5) Malim εἰ ἐξ ἀνάγκης ἐπλήρωσεν, εἶπεν ἄν, ὅτι. 6) τὸν] οὐ τὸν Lut., male; desidero ἀλλ' οὐκ (vel ἀλλ' ἢ) ἐκεῖνον κτλ. 7) φιλοτιμώτερον Ald. Herv. W. 8) πέφηκε W.

1) Reisk. mavult αἱ πρῶται. 2) Ita Aug. Bav. Bu. Be., qui nullam notavit scripturae discrepantiam, τούτων δ' οὐκ vulg. ante Bu. 3) δὴ om. Aug. kr. 4) πανταχῇ Aug. kr. 5) νῦν] τοίνυν ΠΥ› et schol.

ταῦθα ἐπέδωκε[1]), πῶς; ἐν τῇ βουλῇ γιγνομένων ἐπιδό-
162 σεων "παρὼν[2]) οὐκ ἐπεδίδου τότε[3])·, ἐπειδὴ δὲ[4]) πολιορ- 567 R.
κεῖσθαι τοὺς ἐν Ταμύναις στρατιώτας ἐξηγγέλλετο, καὶ πάν-
τας ἐξιέναι τοὺς ὑπολοίπους ἱππέας, ὧν εἷς οὗτος ἦν, προ-
εβούλευσεν ἡ βουλή, τηνικαῦτα φοβηθεὶς τὴν στρατείαν[5])
ταύτην, εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν, πρὶν καὶ προέδρους
καθίζεσθαι[6]), παρελθὼν[7]) ἐπέδωκεν[8]). τῷ δῆλον[9]), d.

---

Πῶς; ἐν τῇ βουλῇ γιγνομένων.] Οὐ διὰ φιλοτιμίαν ἐπέδωκεν· ἐχρῆν γὰρ ἐν ταῖς πρώταις ἐπιδόσεσιν ἐπιδοῦναι. καί ἐστι τοῦτο ἀπὸ τοῦ χρόνου· δυνάμεθα γὰρ καθαιροῦντες λέγειν, „οὐδὲν μέγα τὸ γιγνόμενον· ἐχρῆν γὰρ αὐτὸν ἐν λιμῷ χαρίσασθαι μᾶλλον, ὅτε σύμπας ὁ δῆμος διεφθείρετο“.

Παρὼν οὐκ ἐπεδίδου.] Τὸ μὲν „παρὼν“ πρόςκειται, ἵνα μὴ λέγῃ, ὡς ἀπεδήμει, τὸ δὲ ἐν τῇ βουλῇ μὴ δεδωκέναι· οὔπω[1]) γὰρ προςέβαλλεν ὁ φόβος, τῆς ἀνάγκης τοῦ ἐξιέναι μὴ καταφανοῦς γενομένης. ὅτε δὲ τοῦ δήμου προβουλευσαμένου[2]) ἡ βουλὴ πέμπειν προςέταξε τοὺς ἱππέας, ὀξέως φθάσας καὶ τοὺς προέδρους, ἐπέδωκε τὴν ναῦν.

Παρελθὼν ἐπέδωκεν.] Ἀπὸ τῆς αἰτίας τοῦτο· ἵνα γὰρ φύγῃ τὸν κίνδυνον, διὰ τοῦτο ἐπέδωκεν. τὴν ὑπερβολὴν δὲ ἔδειξε τοῦ φόβου[3])· προὔλαβε γὰρ τὴν τῶν προέδρων παρουσίαν[4]), ἵνα μὴ προελθόντες ἐκεῖνοι περὶ ἄλλων

1) οὕτω Herv. 2) Lege προβουλευσαμένη. 3) Ita W. de coni. et mg. Lut., φθόνου vulg. 4) τὴν — παρουσίαν] Ita Lut., τὴν παροῦσαν Ald. Herv., τοὺς προέδρους W. de coni.

---

1) ἐπέδωκεν Be. Dind. 2) παρ' ὧν F. 3) οὐδὲ τότε coni. Reisk. 4) δὲ om. Ald. 5) στρατιὰν kr. 6) καθέζεσθαι mg. Lut. et Bu.; sane Aoristus desiderari videtur. 7) παρελθὼν (προ superscr.) F Bav., προελθὼν Par. 2. 8) Ita Be., ἐπέδωκε vulg. 9) δήμῳ corr. F.

ὥςτε μηδ᾽ ἀντειπεῖν αὐτὸν ἔχειν, ὅτι τὴν στρατείαν [1]) φεύγων, οὐ φιλοτιμίᾳ τοῦτ᾽ ἐποίησεν [2]); τοῖς μετὰ ταῦτα πρα-
163 χθεῖσιν ὑπ᾽ αὐτοῦ. τὸ μὲν γὰρ πρῶτον, ὡς οὐκ ἐδόκει προϊούσης [3]) τῆς ἐκκλησίας καὶ λόγων γιγνομένων τῆς τῶν ἱππέων βοηθείας ἤδη δεῖν, ἀλλ᾽ ἀναπεπτώκει τὰ τῆς ἐξόδου, οὐκ ἀνέβαινεν [4]) ἐπὶ τὴν [5]) ναῦν, ἣν ἐπέδωκεν, ἀλλὰ τὸν μέτοικον ἐξέπεμψε τὸν Αἰγύπτιον [6]), Πάμφιλον, αὐτὸς δὲ μένων ἐνθάδε τοῖς [7]) Διονυσίοις διεπράττετο ταῦτα [8]),

---

προθῶσι [1]) τὴν σκέψιν, καὶ οὕτως ἐκ τῆς ἐπιδόσεως ὁ Μειδίας ἀναγκασθῇ [2]) στρατεύεσθαι. οἱ γὰρ πρόεδροι ἦσαν οἱ διὰ τοῦ κήρυκος λέγοντες τῷ δήμῳ, δοκεῖ ὑμῖν περὶ τούτου βουλεύσασθαι; καὶ χωρὶς ἐκείνων περὶ οὐδενὸς ὁ δῆμος ἐσκέπτετο.

Τῷ δῆλον.] Τίνι δῆλον καὶ πόθεν ἡ γνῶσις, ὅτι φεύγων τὴν στρατείαν ἐπέδωκε καὶ οὐ διὰ φιλοτιμίαν;

Τοῖς μετὰ ταῦτα πραχθεῖσι [3]).] Ἐπιδοὺς [4]) γὰρ τὴν ναῦν διὰ τὸν φόβον, ὡς εἶδεν, ὅτι τέως προϊούσης τῆς σκέψεως ὁ δῆμος ἔγνω, μὴ πέμπειν τοὺς ἱππέας, ἀλλ᾽ ἦν ἀναβολὴ τῆς ἐξόδου, οὐκ ἀνέβη ἐφ᾽ ἣν ἐπέδωκε ναῦν, ἀλλ᾽ Αἰγύπτιόν τινα Πάμφιλον εὑρὼν ἐπίστευσε τὴν τριήρη. μετὰ μικρὸν δὲ τοῦ στρατηγοῦ Φωκίωνος κρίναντος ἀποστεῖλαι κατὰ διαδοχὰς τοὺς ἱππέας ἐπὶ τὸν πόλεμον, ἣν δὲ αὐτὸς ὁ Μειδίας τότε φυγὼν τὸ μετὰ τῶν ἱππέων ἐξελθεῖν, ἐξέδραμεν ἐπὶ τὴν ναῦν καὶ προὔδωκε τὴν τάξιν, καὶ ἵππαρχος χειροτονηθεὶς τῆς ἀρχῆς παρημέλησεν.

1) προςθῶσι Ald. Herv. 2) ἀναγκ.] μὴ ἀναγκ. Lut. Malim ἐκ τῆς μὴ ἐπιδόσεως. 3) πραχθεῖσιν Lut. 4) ἐπειδοὺς Ald.

---

1) στρατιὰν kr. 2) Ita Be., ἐποίησε vulg. 3) προϊούσης ἤδη τῆς kr Aug. Barocc. Ven. Tayl. 4) ἐνέβαινεν Bav. Aug. Frtv, ἀνάβαινεν Felic. 5) τὴν om. Herv. 1ma Wolf. 6) Alii distingunt: τὸν Αἰγύπτιον Πάμφιλον. 7) τοῖς] Ita Bu. Be. cum Bav. et Bekkeri libris, plurimis, ἐν τοῖς ΠΥΩst et vulg. ante Bu. 8) ταῦτ᾽ Be.

164 ἐφ' οἷς νυνὶ κρίνεται· ἐπειδὴ δὲ ὁ στρατηγὸς Φωκίων μετε- e.
πέμπετο τοὺς ἐξ Ἀργούρας ἱππέας ἐπὶ τὴν διαδοχὴν καὶ
κατείληπτο σοφιζόμενος, τότε ὁ δειλὸς καὶ κατάρατος οὑ-
τοσὶ [1]) λιπὼν τὴν τάξιν ταύτην ἐπὶ τὴν [2]) ναῦν ᾤχετο,
καὶ ὧν ἱππαρχεῖν ἠξίωσε παρ' ὑμῖν ἱππέων, τούτοις οὐ
συνεξῆλθεν. εἰ δ' ἐν τῇ θαλάττῃ κίνδυνός τις ἦν, εἰς τὴν
165 γῆν δῆλον ὅτι [3]) ᾤχετ' ἄν. οὐ μὴν Νικήρατός γε οὕτως [4]) 45 Bn.

---

*Μετεπέμπετο τοὺς ἐξ Ἀργούρας.*] Εἰ πλείους ἦσαν οἱ στρατηγοί, παρὰ χρόνον ἦρχον. ἐλθόντος οὖν τοῦ καιροῦ ἐπὶ Φωκίωνα ὥςτε ἄρχειν, μετεπέμψατο τοὺς ἱππέας, ἵνα αὐτῷ παραμένωσιν. ἐκείνων οὖν ἀναχωρησάντων, ἄλλους ἦν ἀναγκαῖον ἐξελθεῖν, ὧν ἦν ἵππαρχος ὁ Μειδίας.

*Λιπὼν τὴν τάξιν.*] Ταύτην τὴν φιλοτιμίαν εἰς λειποταξίαν κατέστησε, καὶ ὅπερ αὐτὸς ἐνεκαλεῖτο παρὰ Εὐκτήμονος, τοῦτο διαβάλλει [1]) τὸν Μειδίαν.

*Καὶ ὧν ἱππαρχεῖν ἠξίωσε.*] Πολλὰ τὰ ἄτοπα, πρῶτον μέν, ὅτι κατέλιπε τοὺς ἱππέας ἵππαρχος ὤν· καὶ τότε ὠνόμασεν αὐτὸν ἵππαρχον, ὅτε ὕβριν μᾶλλον ἢ τιμὴν [2]) προεξένει· τὸ δὲ ὕστερον, ὅτι καὶ αὐτὸς ἀξιώσας κατέλιπε τούτους, ὧν αὐτὸς ἡγεῖσθαι παρεκάλεσεν [3]).

*Εἰ δ' ἐν τῇ θαλάττῃ κίνδυνός τις.*] Καὶ ἐκεῖ ἔλιπεν ἂν τὴν τάξιν. καὶ ταύτην [4]) διαβάλλειν αὐτὸν πειρᾶται, τῆς γνώμης αὐτοῦ στοχαζόμενος.

*Οὐ μὴν Νικήρατός γε.*] Ἵνα μὴ εἰς ἦθος καταφύγῃ, ἀναιρεῖ τοῖς παραδείγμασι, καὶ πολὺν κατέμιξεν ἔπαινον, εἰπὼν „ὁ ἀγαπητός", οἷον ὁ ὅμοιος [5]) τῷ πατρί.

1) διαβάλλειν W. 2) τί μὴν Ald. 3) „Nescio quid dicere velit." W. Corrupta enim sunt; excidit aliquid, veluti τὸ δὲ δεύτερον ὅτι καὶ αὐτὸς ἀξιώσας ἱππαρχεῖν (vel ἵππαρχον χειροτονηθῆναι) κατέλιπε. 4) ταύτῃ coni. W. 5) γρ. μόνος. Eam scripturam unam veram esse probavit Spaldingus allatis, quae eam in rem faciunt, lexicographorum testimoniis.

---

1) Ita Reisk. ex Aug. Bu. Be., οὗτος vulg. ante Reisk. et Ft. 2) τὴν om. s. 3) Ita Be., δηλονότι vulg. 4) Ita Bu. Be. et vulg. ante Reisk., γε οὐχ οὕτως Aug. Barocc. Fkr Tayl. Reisk., γε οὗτος ΥΩs Bav. οὕτ. om. t.

ὁ τοῦ [1]) Νικίου, ὁ [2]) ἀγαπητός, ὁ [3]) ἄπαις [4]), ὁ παντά-
πασιν ἀσθενὴς τῷ σώματι· οὐδ' Εὐκτήμων ὁ τοῦ Αἰσίωνος,
511 οὐχ οὕτως· οὐδ' Εὐθύδημος ὁ τοῦ Στρατοκλέους· ἀλλ'
Bk. αὐτῶν ἕκαστος ἑκὼν ἐπιδοὺς τριήρη οὐκ ἀπέδρα ταύτην [5])
τὴν στρατείαν [6]), ἀλλὰ τὴν μὲν ἐπίδοσιν [7]) ἐν χάριτος μέ-
ρει καὶ δωρεᾶς παρεῖχον πλέουσαν τῇ πόλει, οὗ δ' ὁ [8]) 568
νόμος προσέταττεν, ἐνταῦθα τοῖς σώμασιν αὐτοὶ λειτουρ- R.
166 γεῖν ἠξίουν. ἀλλ' οὐχ ὁ ἵππαρχος Μειδίας, ἀλλὰ τὴν ἐκ b.
τῶν νόμων τάξιν λιπών, οὗ δίκην ὀφείλει τῇ πόλει δοῦναι,
τοῦτ' ἐν εὐεργεσίας ἀριθμήσει μέρει. καίτοι τὴν τοιαύτην
τριηραρχίαν ὦ [9]) πρὸς θεῶν [10]) πότερον τελωνίαν [11]) καὶ

---

Ὁ ἄπαις [1]).] Ὁ νέος ἔτι καὶ παῖς.

Ὁ παντάπασιν ἀσθενής.] Ὃς ὤφειλεν ἀπολογίαν ἔχων, ἑτέρῳ διαδόχῳ τὴν [2]) ἀσθένειαν χρήσασθαι.

Ἀλλὰ τὴν ἐκ τῶν νόμων τάξιν.] Πόσῃ περιουσίᾳ τῆς τέχνης ἐχρήσατο; οὐ γὰρ μόνον οὐκ ἄξιον ἐπαίνου δείκνυσιν ἐπὶ τῇ φιλοτιμίᾳ ἀλλὰ καὶ τιμωρίας ἄξιον.

Πότερον τελωνείαν καὶ πεντηκοστήν.] Βούλει οὖν τῷ πραχθέντι παρὰ σοῦ δῶμεν ὄνομα πρόσφορον; μὴ κάλει αὐτὸ φιλοτιμίαν ἀλλὰ λειποταξίαν καὶ τελωνείαν, ἐπειδὴ οἱ τελῶναι τοῦ πολεμεῖν εἶχον ἀτέλειαν. διὰ γὰρ τοῦτο ἐπάγει, „καινὴν ἐξεῦρε Μειδίας ἱππικήν τινα πεντήκοστήν". ὄντως γὰρ ξένην τελωνείαν καὶ οἷον ἀτέλειαν τοῦ ξυνιέναι τοῖς ἱππεῦσιν ἐξεύρηκε, τὴν ἐπίδοσιν τῆς τριήρους. ἐπειδὴ γὰρ τὰ τέλη δίδοται χρημάτων ἕνεκα, οὐχὶ τοῦ φεύγειν τὰς στρατείας, εἰκότως προσέθηκε „καὶ-

1) „F. ὁ ἀντίπαις". W. 2) τὴν] διὰ τὴν W. de coni. et Lut.

---

1) τοῦ om. v. 2) ὁ om. kr. 3) ὁ om. k. Ital. Barocc. 4) παῖς Ital. Barocc. Bav. Aug. Fr. 5) ταύτῃ mavult Be. 6) στρατιὰν r. 7) ἐπίδοσιν abesse mavult Be. „Si locus corruptus est, malim abesse πλέουσαν, sed corruptum vix habeam". Schaef. 8) δ' ὁ] δὲ Σ. 9) Ita Be., ὢ vulg. 10) πρὸς τῶν θεῶν Aug. Bav. Barocc. (Par. 5.) Fkr. 11) Ita Aug. Reisk. Bu. Be., τελωνείαν schol. Fv corr. k et vulg. ante Reisk.

πεντηκοστὴν [1]) καὶ λιποταξίαν [2]) καὶ στρατείας [3]) ἀπόδρασιν καὶ πάντα τὰ τοιαῦτα ἁρμόττει καλεῖν ἢ φιλοτιμίαν; οὐδένα γὰρ τρόπον ἄλλον ἐν τοῖς ἱππεῦσιν αὐτὸν ἀτελῆ ποιῆσαι στρατείας [4]) δυνάμενος ταύτην εὕρηκε Μειδίας καινὴν [5]) ἱππικῆς τινα πεντηκοστήν. καὶ γὰρ αὖ τοῦτο [6])·
167 τῶν ἄλλων ἁπάντων τῶν ἐπιδόντων τριηράρχων [7]) παρα- c.
πεμπόντων ὑμᾶς, ὅτε δεῦρ' ἀπεπλεῖτε [8]) ἐκ Στύρων [9]), μόνος οὗτος οὐ παρέπεμπεν, ἀλλ' ἀμελήσας ὑμῶν χάρακας καὶ βοσκήματα καὶ θυρώματα ὡς αὐτὸν καὶ [10]) ξύλα

νήν τινα πεντηκοστήν". ὅμως δέ, φησίν, ἐξετάσωμεν αὐτοῦ καὶ τὴν ἐπίδοσιν τί ἡμᾶς ὠφέλησεν; ἔστιν οὗτος ἀπὸ τῆς ἐκβάσεως ὁ λόγος. τῶν ἄλλων πεμπόντων [1]), μόνος οὗτος οὐ παρέπεμπεν· οὐκοῦν ἀνωφελὴς ἡ ἐπίδοσις, εἴπερ μὴ διεβίβαζε τὸν δῆμον.

Ἐκ Στύρων.] Χωρίον τῆς Εὐβοίας.

Χάρακας καὶ βοσκήματα.] Ἀντιπίπτον ἔλυσε, τίνος οὖν ἕνεκεν λοιπὸν ἐπέδωκε τὴν ναῦν, ἐν ᾗ μὴ ἔμελλεν ἡμᾶς διακομίζειν; ὁ δέ φησιν, ὅτι βοσκήματα καὶ ξύλα καὶ θυρώματα [2]) διεκόμιζε.

Θυρώματα.] Σανίδας ἐπιτηδείας πρὸς θύρας. θυρώματα δὲ εἶπεν, ἐνδεικνύμενος τὸ μέγεθος, ὥστε πολλῶν χρήζειν θυρωμάτων.

1) παραπεμπόντων W., τῶν ἄλλων ἁπάντων παραπεμπ. Lut. Malim τ. ἄ. ἁπάντων μόνος. 2) Ita Lut., θυρώματα δὲ σανίδας (omissis διεκόμιζε. Θυρώματα) Ald. Herv., ξύλα· θυρώματα δὲ σανίδας W.

1) Harpocr. Phot. Suid. v. πεντηκοστή. 2) Ita Be. et FΠΣΥΩk Aug., λειποταξίαν vulg. ante Be. 3) στρατιᾶς kr. 4) Ita Bu. Be. et vulg. ante Reisk., δυνάμενος στρατιᾶς kr, δυν. στρατείας Reisk. non monito lectore, ut videtur, ex Aug. 5) κενὴν ἱππικὴν Σ. 6) αὖ τοῦτο] Ita Be. Πkr Barocc. Indicc. Aldinae Herv. Wolf., αὐτοῦ τὸ ΣΥs Lindenbr. Vind. Obsop. Ital., αὖ τότε vulg. ante Be. 7) Ita F Wolf. Bu. et Be., τριηραρχῶν vulg. ante Bu. 8) ἐπεπλεῖτε ΠΩs Vindob. Indicc. Aldinae Herv. Wolf., probat Tayl. 9) Σκυθῶν corr. Σ et mg. Y. 10) καὶ ξύλα om. r Aug.

εἰς τὰ ἔργα τὰ [1]) ἀργύρεια [2]) ἐκόμιζε, καὶ χρηματισμός, οὐ [3]) λειτουργία γέγονεν ἡ τριηραρχία τῷ καταπτύστῳ τούτῳ. ἀλλὰ μὴν ὡς ἀληθῆ λέγω, σύνιστε μὲν [4]) τὰ [5]) πολλὰ τούτων [6]), ὅμως δὲ καὶ μάρτυρας ὑμῖν καλῶ.

168 ΜΑΡΤΥΡΕΣ [7]).

Κλέων [8]) Σουνιεύς, Ἀριστοκλῆς Παιανιεύς, Πάμφιλος, Νικήρατος Ἀχερδούσιος, Εὐκτήμων Σφήττιος [9]), καθ' ὃν καιρὸν ἐκ Στύρων ἀπεπλέομεν δεῦρο τῷ στόλῳ παντί, ἐτύχομεν τριηραρχοῦντες καὶ αὐτοὶ καὶ [10]) Μειδίας ὁ νῦν κρινόμενος ὑπὸ Δημοσθένους, ᾧ μαρτυροῦμεν. παντὸς δὲ [11]) τοῦ στόλου πλεόν- 569
των [12]) ἐν τάξει, καὶ τῶν τριηράρχων [13]) ἐχόντων

---

*Εἰς τὰ ἔργα τὰ ἀργύρια* [1]).] Μεμίσθωτο γὰρ τὰ μέταλλα παρὰ τῆς πόλεως, ἃ ἦν τοῦ ἀργυρίου.

*Καὶ χρηματισμὸς οὐ λειτουργία.*] Μετέθηκεν εἰς περιουσίας ἀφορμὴν ὁ Μειδίας τὴν λειτουργίαν, καὶ οἱ μὲν ἄλλοι δαπανῶσιν, αὐτὸς δὲ χρηματισμὸν καὶ πόρον ἐντεῦθεν περιποιεῖται. ἐμπορίας οὖν ἕνεκεν, οὐ φιλοτιμίας τὴν ναῦν ἐπέδωκεν.

*Ὅμως δὲ καὶ μάρτυρας ὑμῖν καλῶ.*] Ὅτι καὶ χάρακας καὶ βοσκήματα καὶ τὰ τοιαῦτα ἐκόμισεν. οὐδὲν δὲ ἐκώλυε καὶ τοὺς πολίτας διαβιβασθῆναι. κἀκεῖνο δέ ἐστιν ὁμολογούμενον, ὅτι ξύλα ἐκόμισεν. ἐκ τούτου συνάγει, ὅτι τῶν ἀνθρώπων ἠμέλησεν.

1) ἀργύρεια Lut.

---

1) τὰ om. ΠΣΥΩs. 2) ἀργύρια iidem, Aug. kr. et schol. 3) οὐχὶ krtv Aug. Reisk. Bu. 4) μὲν] μοι Indicc. Ald. Herv. Wolf. Obsop. 5) μὲν τὰ] μετὰ Ys. 6) Post τούτων addidit ὑμεῖς Reisk. ex Ven. Barocc. Ital. Aug., retinuerunt Bu. Be., quamquam om. FΣΥΩstv. cf. p. 212, 3. 7) Testimonium om. Aug. 8) λέων tv. 9) Ita Bav. et vulg. post Reisk., σφήτιος vulg. ante R. 10) καὶ om. ΠΣΩs. 11) δὲ] δέκα ΥΩs, δὲ καὶ Σ. 12) πλέοντος coni. Iurin. 13) τριηραρχῶν ΣΥst, τριηραρχικῶν Ω.

παράγγελμα μὴ χωρίζεσθαι, ἕως ἂν δεῦρο καταπλεύ-
σωμεν, Μειδίας [1]) ὑπολειφθεὶς τοῦ στόλου, καὶ γε-
12 μίσας τὴν ναῦν "ξύλων [2]) καὶ χαράκων καὶ βοσκημά-
k. των καὶ ἄλλων τινῶν, κατέπλευσεν εἰς Πειραιᾶ μόνος
μεθ' ἡμέρας δύο, καὶ οὐ συγκατέστησε τὸν στόλον [3])
μετὰ τῶν ἄλλων τριηράρχων.

69. Εἰ τοίνυν ὡς ἀληθῶς ὦ [4]) ἄνδρες Ἀθηναῖοι οἷάπερ [5]) 46
φήσει [6]) καὶ [7]) καταλαζονεύσεται [8]) πρὸς ὑμᾶς αὐτίκα δὴ Bu.
μάλα, τοιαῦτ' ἦν αὐτῷ τὰ [9]) λελειτουργημένα καὶ πεπρα-
γμένα, καὶ μὴ τοιαῦτα, οἷα ἐγὼ δεικνύω, οὐδ' οὕτω δή-
που τό γε δοῦναι δίκην ὧν [10]) ὕβρικεν ἐκφεύγειν [11]) ταῖς
λειτουργίαις δίκαιος ἂν ἦν. ἐγὼ γὰρ οἶδ' ὅτι πολλοὶ πολλὰ b.

---

(Οὐ συγκατέστησε.] Ἀντὶ τοῦ οὐ συγκαταστολίασε, μᾶλλον οὐκ [1]) ἀπέσωσεν. B.)

Εἰ τοίνυν ὡς ἀληθῶς ὦ ἄνδρες Ἀθηναῖοι.] Τῷ κατὰ ἀντιπαράστασιν κέχρηται νοήματι [2]) μετὰ τὴν ἔνστασιν. οὐ μόνον γὰρ εἰς τὰς λύσεις τῶν ἀντιθέσεων [3]) χρώμεθα αὐταῖς ἀλλὰ καὶ ἐπὶ ἑτέρων νοημάτων, ὅταν τι [4]) βουληθῶμεν κατὰ περιουσίαν εἰςαγαγεῖν, ὅπερ καὶ ἐνταῦθα πεποίηκεν ὁ ῥήτωρ. δείξας γὰρ διὰ τῆς ἐνστάσεως, ὅτι οὐδὲν ἐλειτούργησε, χρῆται τῇ ἀντιπαραστάσει, ὅτι [5]) ἄξιος ἦν συγγνώμης ἐφ' οἷς ἐπλημμέλησε, καὶ ἑξῆς.

1) Malim δ' οὐκ. 2) νόματι Herv. 3) ἀντιθέων Ald. Herv. 4) ὅτ' εἴτι Ald, et Herv. 5) ὅτι οὐκ ἄξιος W. de coni., recte.

---

1) Μειδίας δὲ ὑπολ. — ναῦν ξύλων Bekk. Anecd. 177, 17. Μειδίας δ' ἀπολειφθεὶς — καὶ ἄλλων τινῶν ibid. 131, 9. Μειδίας δὲ Y. 2) Plutarch. „An seni gerenda sit resp. c. 4. T. 12. p. 105 H. 3) στόλων Ald. post. 4) ὦ om. Π. 5) Ita de coni. Reisk. Bu. Be., ἅπερ libri omnes. 6) φησὶ ΠΥΩkrs Aug. et corr. v. 7) καὶ om. s. 8) καταλαζονεύεται ΠΣΥΩkrsv Aug. 9) τὰ] Ita Bav. Σr Bu. Be., καὶ τὰ vulg. 10) ὧν] Ita Aug. Bu. Be., ὧν ἐμὲ Ftv et vulg. ante Bu., ἐμὲ Reisk. uncis circumscripsit. 11) ἐκφυγεῖν ΠΥΩrs Aug. corr. v Bu.

κἀγαθὰ ὑμᾶς εἰσιν [1]) εἰργασμένοι, οὐ κατὰ τὰς Μειδίου λειτουργίας, οἱ μὲν ναυμαχίας νενικηκότες, οἱ δὲ πόλεις εἰληφότες, οἱ δὲ πολλὰ καὶ καλὰ ὑπὲρ τῆς πόλεως [2]) στή-
170 σαντες τρόπαια· ἀλλ' ὅμως [3]) οὐδενὶ πώποτε τούτων [4]) ἐδώκατε [5]) τὴν δωρεὰν ταύτην, οὐδ' ἂν δοίητε, ἐξεῖναι τοὺς ἰδίους ἐχθροὺς ὑβρίζειν αὐτῶν ἑκάστῳ, ὅπου [6]) ἂν βούληται καὶ ὃν ἂν δύνηται τρόπον. οὐδὲ γὰρ Ἁρμοδίῳ c
καὶ Ἀριστογείτονι· τούτοις γὰρ δὴ [7]) μέγισται δέδονται [8]) δωρεαὶ παρ' ὑμῶν καὶ ὑπὲρ μεγίστων [9]). οὐδ' ἂν ἠνέσχεσθε [10]), εἰ προσέγραψέ τις ἐν [11]) τῇ στήλῃ „ἐξεῖναι

---

Οἱ μὲν ναυμαχίας.] Ἐκ τοῦ πρός τι ἐπιλογίζεται, καὶ οἷς ἐκεῖ κατ' ὄνομα ἐπεξῆλθεν Ἰφικράτει τε καὶ Χαβρίᾳ καὶ τοῖς ἄλλοις, τούτους νῦν ἐν τῷ καθόλου ἀορίστως περιέλαβε. δεῖ γὰρ τὸν ἐπίλογον πάντα ἐπιλογίζεσθαι τὰ ἐν τοῖς ἀγῶσι τά τε ἐν προοιμίοις καὶ [1]) καταστάσεσιν.

Ὅπου, ἐὰν βούληται.] Καὶ ἐν ἑτέροις καὶ ἐν

1) καὶ] καὶ τὰ ἐν Lut.

---

1) εἰσὶν ὑμᾶς k, εἰσὶν εἰς ὑμᾶς r. 2) ὑπὲρ τῆς πόλεως] τῇ πόλει kr Aug. Barocc. 3) ὅμως ὑμεῖς οὐδ. Aug. Ykr Reisk. Bu. 4) Ita Bu. Be., τούτων πώποτε Ftv et vulg. ante Bu. 5) δεδώκατε ΠΣΥΩs Bu., ob particulam πώποτε repudiandum putat Schaef., sed §. 192, 5. μηδὲν ἐσκέφθαι πώποτ' Schaefero non erat offensioni neque desunt similia. 6) Ita Vind. Dind., ὅπου ἐὰν ΣYs (in mg. Lut. ex α, qui Bekkero s dicitur, ὅπου ἂν enotatur) pr. Π et Ulp., ὁπότ' ἂν vulg., ὁπόταν καὶ ὅπου ἂν coni. Bu., ὁπότ' ἂν καὶ ὅπου ἂν coni. Schaef., quamquam huic temporis, non loci videtur opus esse significatione. 7) δὴ om. γρ. Σ. 8) δέδονται ante μέγισται ponit γρ. Σ, post δωρεαὶ kr, δίδονται s et Wolf. referente Tayloro, id quod de Frankof. intelligendum; nam in Basil. δέδονται legitur. 9) μεγίστων] μεγίστων οὐ δέδοται τοῦτο γρ. Σ, hinc Bu.: μεγίστων· οὐ δέδοται τοῦτο.; debebat certe τοῦτο οὐ δέδοται. 10) ἠνέχεσθε s. 11) Ita Lut. Reisk. Bu. Be., qui nullam notavit scripturae discrepantiam, τις καὶ τῇ Felic. Paul. Herv. 1ma 2da, τις τῇ Wolf. Tayl.

δέ [1]) καὶ ὑβρίζειν αὐτοῖς, ὃν ἂν βούλωνται“· ὑπὲρ γὰρ
αὐτοῦ τούτου τὰς ἄλλας ἔλαβον δωρεάς, ὅτι τοὺς ὑβρίζον-
τας ἔπαυσαν.
1 Ὅτι τοίνυν καὶ [2]) κεκόμισται χάριν ὦ ἄνδρες Ἀθη- d.
ναῖοι παρ' ὑμῶν, οὐ μόνον [3]) ὧν αὐτὸς λελειτούργηκε λει-
τουργιῶν ἀξίαν (μικρὰ γὰρ αὕτη γέ τις ἦν [4])) ἀλλὰ „καὶ 570
τῶν μεγίστων, καὶ [5]) τοῦτο βούλομαι δεῖξαι, ἵνα μηδ' R.
ὀφείλειν οἴησθέ τι τῷ καταπτύστῳ τούτῳ. ὑμεῖς γὰρ ὦ ἄν- e.
δρες Ἀθηναῖοι ἐχειροτονήσατε τοῦτον [6]) τῆς παράλου τα-

---

θεάτροις. ὃν δ' ἂν δύνηται τρόπον, τουτέστι, πληγὰς ἐντείνων καὶ διαφθείρων, καὶ στεφάνους ἀφανίζων.

Ὅτι τοίνυν καὶ κεκόμισται χάριν.] Ὅπερ [1]) ἂν ὁ Μειδίας εἰς τὸν τῆς αἰδοῦς παρέσχε τόπον, „ὅτι τετίμηται παρ' ὑμῶν, ὅτι τῆς Παράλου γέγονε ταμίας, ὅτι ἵππαρχος ἐχειροτονήθη, ἄτοπον οὖν τοῦ τοιούτου καταψηφίσασθαι διὰ πρόφασιν μικράν“, ταῦτα προλαμβάνων Δημοσθένης ἀναιρεῖ, φάσκων, ὅτι διὰ ταῦτα αὐτὰ [2]) οὐκ ἄξιος αἰδοῦς. εἰ γὰρ διὰ τὰς λειτουργίας ἔτυχεν ἂν συγγνώμης [3]), κεκόμισται δὲ συγγνώμην [4]) καὶ ἀντὶ τοῦ [5]) ἑτέρας τιμάς, φαίνεται μηδὲν ὀφειλόμενος [6]) παρὰ τῆς πόλεως.

Ἐχειροτονήσατε τοῦτον τῆς Παράλου ταμίαν.] Οἱ μὲν φασιν, ὅτι Πάραλος ἐκλήθη ἀπὸ τοῦ Παράλου παιδὸς τοῦ Περικλέους, οἱ δὲ ἀπὸ Παράλου τινὸς

1) f. ἅπερ. 2) διὰ αὐτὰ ταῦτα W. non monito lectore, quae verborum collocatio non necessaria. 3) συγγ.] συγγ. ὧν ἄξιος Lut., recte. 4) συγγ. — τοῦ] τὴν ταμίου τίμην ἀντὶ τούτων καὶ mg. Lut., συγγ. καὶ omitti vult W. 5) τούτων W. Malim κεκόμισται δὲ ἀντὶ τοῦ συγγνώμην (sc. κομίσασθαι) ἑτέρας τιμάς. 6) ὀφειλομένῳ Lut., ἀντὶ τοῦ φαίνεται ἡ πόλις μηδὲν ὀφείλουσα αὐτῷ explicuit W. Scribendum videtur ὀφειλόμενον, sc. αὐτῷ.

---

1) δὲ om. t; cf. Mus. Rhenan. 2, p. 274. 2) καὶ om. Σ. 3) οὐχ ὧν — ἀλλὰ τῶν μεγ. coni. Reisk. 4) τις ἂν ἦν coni. Reisk. 5) καὶ om. Aug. k. 6) Ita Bu. Be. et vulg. ante Reisk., τοῦτον ἐχειροτονήσατε kr et Reisk. non monito lectore, ex Aug., ni fallor.

ἥρωος [1]), οὗ καὶ ὁ παῖς ἦν Περικλέους [2]) ὁμώνυμος, οἱ δὲ [3]) διὰ τὸ πλεῖν τὴν παραλίαν, τουτέστι, τὴν Ἀσίαν καὶ τὸν Ἑλλήςποντον. αὕτη γὰρ ἀπεστέλλετο [4]) πρὸς συμμάχους, εἴτι βούλοιντο σημαίνειν οἱ Ἀθηναῖοι. ἦσαν δὲ τὸ μὲν πρῶτον ἱεραὶ δύο τριήρεις, ἥ τε Σαλαμινία [5]), ἣν καὶ Δηλίαν [6]) ἐκάλουν, καὶ ἡ Πάραλος, ὕστερον δὲ καὶ ἄλλαι τρεῖς ἐγένοντο, Ἀντιγονὶς καὶ Πτολεμαῒς [7]) καὶ Ἀμμωνιάς [8]), ἐπειδὴ τῷ Ἄμμωνι δι᾽ αὐτῆς τὰς θυσίας ἔπεμπον. τούτων δὲ τῶν ἱερῶν τριηρῶν αὐτὴ [9]) ἡ πόλις ἐπεμελεῖτο καὶ χρήματα ἐδίδου τοῖς ταμίαις, ὥστε αὐτῶν ἐπιμελεῖσθαι

1) Huius Hérois mentionem fecerunt Phylarchus Harpocratione teste, Euripides Supplic. 681 Herm. ex sententia Valesii (sed locum hunc admodum incertum interpretes longe alio retulerunt) et Cicer. Verr. IV. 60 (quem locum probabilius est in navem cognominem referre). Erat autem fortasse indiges hic gentis Alcmaeonidarum. 2) Hunc Pericles ex nobili ea uxore, quae antea Hipponico nupserat, suscepit, Xanthippo, ni fallor, natu minorem; nam paterni avi nomine maximus natu dici solebat; erat autem, etsi optimis eum artibus pater instituendum curaverat, fratre non minus dissolutis moribus, homo nequam et fatuus, ut scholiasta teste ad Platon. Alcib. 1, p. 387 Bekk. βλιττομάμμαι dicerentur; neque tamen mortem eius peste post fratrem interempti pater non luxit. Cf. Plutarch. Pericl. 24. 36. Plato Menon. p. 94, a. (coll. dial. de virt. 1. 7 ed. Fisch.). Alcib. 1. 118, e. Protag. 320, a. 3) οἱ δὲ addidi de coni. Wolfii. 4) ἀπεστέλετο Ald. Herv. 5) Falluntur Suid. Phot. et qui ex his sua mutuatus est schol. Cod. Bav. in Demosth. T. 2. p. 51 Reisk., quod Paralum eandem atque Salaminiam arbitrantur navem. 6) Ita W. de coni., δειλίαν vulg. 7) Debebat, ni fallor, tres, quae accesserunt, alio ordine commemorare, nam Ammonidem earum primam accessisse, inde credibile, quod eius iam Dinarchus ap. Harpocr. v. Ἀμμ. mentionem fecit; Antigonidem autem et Demetriadem sacras naves probabile est eodem anno accessisse, quo tribus Antigonis et Demetrias additae sunt, i. e. Ol. 118, 3. Demetriadem dixi, Suidam et Photium v. Πάραλος secutus, meliores auctores Ulpiano; cf. Ruhnken. de tutel. et insign. nav. in opuscul. p. 269 ed. 1807; namque Ptolemaidem, quam Ulpianus, quod sciam, solus pro Demetriade dixit, probabile est novam non fuisse navem, sed nomen novum, quod in Demetriadis pridem cum ceteris Antigoni et Demetrii honoribus abolitae locum cesserit inter annos Ol. 125, 3—133, 2. in honorem Ptolemaei Philadelphi (cf. Boeckh. Oecon. Civ. Ath. 1. 259. Corp. Inscr. 1. 153, b. 901, a. extr.) 8) Haec forma reperitur apud Photium quoque, Ἀμμωνὶς autem apud Harpocr. s. v. extat, et apud Plinium proclivius est „Hammonida" quam „Ammoniada" cum Sillgio Catal. Artiff. p. 592 ex antiquorum librorum scriptura „hemionida" rescribere. 9) Ita W. de coni., αὕτη vulg.

μίαν, ὄντα τοιοῦτον οἷός ἐστι, καὶ πάλιν ἵππαρχον, ὀχεῖ-
513 Bk. σθαι [1]) διὰ τῆς ἀγορᾶς ταῖς πομπαῖς οὐ δυνάμενον, καὶ
μυστηρίων ἐπιμελητὴν καὶ ἱεροποιόν ποτε [2]) καὶ βοώνην [3])
172 καὶ τὰ τοιαῦτα δή [4]). εἶτα πρὸς τῶν θεῶν τὸ τὴν τῆς φύ- f.
σεως κακίαν καὶ ἀνανδρίαν καὶ πονηρίαν ταῖς παρ' ὑμῶν ἀρχαῖς καὶ τιμαῖς καὶ χειροτονίαις ἐπανορθοῦσθαι μικρὰν ὑπολαμβάνετε εἶναι δωρεὰν καὶ χάριν; καὶ μὴν εἴ τις αὐτοῦ ταῦτ' [5]) ἀφέλοιτο „ἱππάρχηκα· τῆς παράλου ταμίας

---

καὶ παρέχειν ταχυναυτούσας [1]). καὶ τιμὴ ἦν τὸ τούτων τινὸς ἐπιμεληθῆναι.

Ὄντα τοιοῦτον.] Δεινόν [2]) τε καὶ μοχθηρόν.

Καὶ πάλιν ἵππαρχον.] Φθάσας ἤδη τὴν στρατηγίαν ταύτην αὐτοῦ διέβαλεν. εἰκότως οὖν ἐπήνεγκε τὸ „οὐ δυνάμενον“. εἰ γὰρ οὕτως ἐστὶν ἀσθενής, ὥστε καὶ ἐπ' ἀστράβης ὀχεῖσθαι, δηλονότι, ἀνεπιτήδειός ἐστι πρὸς τὸ στρατηγεῖν.

Ὀχεῖσθαι [3]) διὰ τῆς ἀγορᾶς.] Ἔθος γὰρ ἦν ἐν ταῖς πομπαῖς προηγεῖσθαι τοὺς ἄρχοντας. οὐ τῆς ἐπιστήμης οὖν χάριν οὐδὲ τῆς τέχνης τετίμηται· τόσοῦτον γὰρ ἀπέχει ταύτης, ὥςτ' οὐδ' ἐν εἰρήνῃ καλῶς ἐποχεῖσθαι τῷ ἵππῳ κατὰ τὴν ἀγοράν ποτε δεδύνηται.

Ἱεροποιόν.] Τὸν ἐπισκοποῦντα τὰ θύματα, μὴ ἀδόκιμα καὶ πηρά. βοώνην δὲ τὸν ὠνούμενον βοῦς εἰς τὰς ἑορτάς.

Τὴν τῆς φύσεως κακίαν καὶ ἀνανδρίαν.] Ἵππαρχον μὲν αὐτὸν χειροτονήσαντες τὴν δειλίαν ἐπηνορθώσαντο [4]), ἱεροποιὸν δὲ καὶ μυστηρίων ἐπιμελητὴν ἑλόμενοι τὴν πονηρίαν ἤμβλυναν.

1) Ita W. de coni., ταχυναύτας vulg. 2) f. δειλόν. 3) ὀρχεῖσθαι Lut., ὀχεῖσθαι γρ. mg. Lut. 4) Ita W., ἐπηνορθώσατο Ald. et Herv., ἐπηνωρθώσαντο Lut., γρ. ἐπανώρθωσαν mg. Lut.

---

1) ὀρχεῖσθαι Ald. Herv. 1ma Lut. (ὀχεῖσθαι vero indicc. Ald. Herv.), ὀχεῖσθε Paul. 2) ποτε] τε r. 3) Ita Lindenbr. Parr. 1. 2. 5. Aug. Bav. et vulg. post Taylor., βοιώνην Felic. Paul. Herv. 2da Lut., βοιόνην Herv. 1ma. 4) δὴ om. kr. 5) ταῦτα vulg. ante R.

173 γέγονα“, τίνος ἄλλου ἐστ' ἄξιος [1]) οὗτος [2]); ἀλλὰ μὴν 47 κἀκεῖνό γ' [3]) ἐπίστασθε, ὅτι τῆς μὲν παράλου ταμιεύσας Bu. Κυζικηνῶν ἥρπασε πλεῖον ἢ πέντε τάλαντα, ὑπὲρ ὧν ἵνα μὴ δῷ δίκην, πάντα τρόπον περιωθῶν [4]) καὶ ἐλαύνων τοὺς ἀνθρώπους καὶ τὰ σύμβολα συγχέων, τὴν μὲν [5]) πόλιν ἐχθρὰν τῇ πόλει πεποίηκε, τὰ χρήματα δ' αὐτὸς ἔχει· ἵππαρχος δὲ χειροτονηθεὶς λελύμανται τὸ ἱππικὸν ὑμῶν, τοιούτους θεὶς νόμους, οὓς πάλιν αὐτὸς ἔξαρνος ἦν μὴ τε-

---

Κυζικηνῶν ἥρπασε πλεῖον ἢ πέντε.] Ἐν τῷ συμμαχικῷ πολέμῳ ἐψηφίσαντο Ἀθηναῖοι λῄζεσθαι τοὺς θάλατταν [1]) πλέοντας, κἂν [2]) ἔμποροι ὦσι, τῶν πολεμίων. παρατυχὼν οὖν ἐμπόροις Κυζικηνοῖς ἀφείλετο αὐτῶν ὡς πολεμίων τὰ χρήματα. οἱ δὲ ἐλθόντες εἰς Ἀθήνας ἀπεδείκνυσαν αὐτοῖς φιλίαν ὑπάρχουσαν πρὸς τὴν πόλιν. ὁ δὲ Μειδίας μέχρι τοσούτου ἀντεῖπεν, ἕως ἔπεισε, μὴ ἀποδοῦναι αὐτοῖς τὰ χρήματα. οἱ δὲ ἀπελθόντες ἀπέστησαν τὴν ἑαυτῶν πατρίδα. κατ' ἄμφω οὖν τοὺς ἄνδρας ἠδίκησε [3]), καὶ χρήματα λαβών, καὶ εἰς ἔχθραν ἐμβαλών.

(Περιωθῶν.] Περιάγων. B.)

Συγχέων.] Κινῶν [4]) καὶ συνταράττων καὶ ἀναιρῶν, ἵνα μὴ ἀπαιτοῖτο τὰ χρήματα.

Τοιούτους θεὶς νόμους.] Οἱ μὲν τοὺς λόγους, οὓς εἶπε κατὰ τῶν ἱππέων, ἐκάλεσαν νόμους, οἱ δὲ τῇ ἀληθείᾳ ὑπέλαβον τεθεῖσθαι νόμους, ὡς οὐ δεῖται ἱππέων ἡ πόλις· καταισχύνουσι γὰρ αὐτήν. ἴσως δ' ἐποίησεν [5]), ἵνα μὴ στρατεύηται.

Ἔξαρνος ἦν.] Φοβηθεὶς γὰρ τὴν κατηγορίαν ἔῤῥιψε καὶ ἀφῆκε τοὺς νόμους.

1) τοὺς τὴν θάλ. W. 2) ἂν mg. Lut. 3) οὖν ἠδίκησε, καὶ τοὺς ἄνδρας, τὰ χρήματα λαβών, καὶ τὴν πόλιν, εἰς ἔχθραν ἐμβ. W. non monito lectore, sed satis probabiliter. 4) κυκῶν Lut., placet. 5) δὲ ποίησεν Ald. Herv.

---

1) Ita Bu. Be., ἐστ' ἄλλου ἄξιος Ftv et vulg. ante Bu., ἄξιός ἐστιν (om. ἄλλου) kr Aug., quod perplacet Schaefero. 2) οὗτος] οὗτος; οὐδενός mg. Ω Ven. et Lessing., placet Buttmanno. 3) Ita Be., γε vulg. 4) περιάγων mg. F. 5) μὲν om. v.

174 θεικέναι. καὶ [1]) τῆς μὲν παράλου ταμιεύων τότε, ὅτε τὴν b. ἐπὶ Θηβαίους ἔξοδον εἰς Εὔβοιαν ἐποιεῖσθε [2]) ὑμεῖς, δώδεκα τῆς πόλεως [3]) τάλαντα ἀναλίσκειν ταχθείς, ἀξιούντων ὑμῶν πλεῖν καὶ παραπέμπειν τοὺς στρατιώτας οὐκ ἐβοήθησεν, ἀλλ' ἤδη τῶν σπονδῶν γεγονυιῶν, ἃς Διοκλῆς ἐσπείσατο Θηβαίοις, ἧκεν [4]). καὶ τότε ἡττᾶτο πλέων [5]) τῶν ἰδιωτικῶν [6]) τριήρων [7]) μιᾶς [8])· οὕτως εὖ τὴν ἱερὰν c. τριήρη παρεσκευάκει [9]). ἱππαρχῶν [10]) τοίνυν, τί οἴεσθε 571 τἆλλα; ἀλλ' ἵππον, ἵππον [11]) οὐκ ἐτόλμησεν ὁ λαμπρὸς R. καὶ πλούσιος οὗτος πρίασθαι [12]), ἀλλ' ἐπ' ἀλλοτρίου τὰς

---

Ὅτε τὴν ἐπὶ Θηβαίους ἔξοδον.] Ἐγένετο γὰρ καὶ διὰ τὸν Πλούταρχον ἑτέρα.

Δώδεκα τῆς πόλεως τάλαντα.] Ἀντιπίπτον ἔλυσεν, „οὐκ ἠδύνατο πλεῖν ἡ τριήρης τῷ μὴ λαβεῖν χρήματα παρὰ τῆς πόλεως εἰς τὴν ἐπισκευήν." ὁ δὲ εἶπε, καὶ μὴν δώδεκα τάλαντα εἰλήφει, ὅσα οὐδεὶς ἕτερος.

Τὴν ἱερὰν τριήρη παρεσκευάκει [1]).] Τοῦ διαπορθμεύειν ἐπὶ τὸν πόλεμον. Διοκλῆς δὲ στρατηγὸς ἦν ὁ λύσας τὸν πρὸς Θηβαίους πόλεμον ταῖς σπονδαῖς.

Ἀλλ' ἵππον οὐκ ἐτόλμα [2]).] Οὐκοῦν εἰς μὲν τὰς ἰδίας τρυφὰς ὑπάρχει φιλότιμος, εἰς δὲ τὰς κοινὰς χρείας οὕτω μικρολόγος, ὥστε μηδὲ ἵππον ὠνήσασθαι, καίτοι ἵππαρχον ὄντα.

1) παρασκευάκει Ald. Herv. 2) ἐτόλμησεν Lut.

---

1) καὶ τῆς — ἐποιεῖσθε ὑμεῖς Bekk. Anecd. 175, extr. 2) ἐποιεῖσθ' Ω et mg. Lut., ἐποιεῖσθ' Be. 3) ὑπὲρ τῆς πόλεως coni. Wolf., ἐκ τῶν τῆς π., ὑπὸ τῆς π., ἀντὶ vel ὑπὲρ τ. π. coni. Reisk. 4) Ita Be., ἧκε (ω) vulg. 5) πλέον v. 6) τῶν ἰδιωτῶν ἰδιωτικῶν s. 7) Ita Herv. 1.2. Fel. Wolf. Be., τριηρῶν Lut. Reisk. Bu. 8) πλὴν μιᾶς coni. Reisk., placet id Spaldingo, secus iudicat Schaef. 9) κατεσκευάκει r. 10) ἱππάρχω ΥΩ. 11) Alterum ἵππον addidit primum Reisk. ex Bav. Less., om. kv schol. et vulg. ante R., in Aug. rec. manu expunctum est. 12) πριᾶσθαι Ωs.

πομπὰς 1) ἡγεῖτο 2), τοῦ Φιλομήλου 3) τοῦ Παιανιέως ἵππου, καὶ ταῦτα 4) πάντες 5) ἴσασιν οἱ ἱππεῖς 6). Καὶ 7) ὅτι ταῦτ' 8) ἀληθῆ λέγω, κάλει μοι καὶ τούτων τοὺς 9) μάρτυρας.

## ΜΑΡΤΥΡΕΣ.

175 Βούλομαι τοίνυν ὑμῖν ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ὅσων d.

---

*Βούλομαι τοίνυν.*] Τὴν πηλικότητα ἐπιλογίζεται. ἐπειδὴ γὰρ ἐν ἐκείνῃ φησὶν ὁ Μειδίας, ὅτι „τί γὰρ γέγονε δεινόν, καὶ τίς ποτε ἐπὶ τοιούτοις δημοσίαν δίκην 1) ὑπέμεινε“, διὰ τοῦτο ἐκεῖ μὲν τοῖς ἀγωνιστικοῖς ἐχρήσατο, ἐνταῦθα δὲ τοῖς ἐπιλογικοῖς, ὅτι 2) πολλῷ 3) καὶ ἐλάττοσι τούτων δίκην ἔδοσαν. ἔστι δὲ τῶν παραδειγμάτων τῶν ληφθέντων τὰ μὲν ὅμοια τοῖς πᾶσι, τὰ δὲ κατὰ τὴν παρέκβασιν 4) μόνον. καὶ τῶν ὁμοίων τὰ μὲν μᾶλλον, τὰ δὲ ἧτ-

1) Ita Ald. Lut., *δίκην* om. Herv., *δημ. ὑπ. δίκην* W. de coni. 2) *ὅτι πολλῷ καὶ ἐπ' ἐλάττ.* Lut., *ὅτι ἐπὶ πολλῷ κ. ἐλάττ.* W. de coni.; malim *ὅτι πολλοὶ καὶ ἐπ' ἐλ.*, quamquam adverbia uno alterove vocabulo interposito ab adiectivis disiungi posse satis constat, veluti *πολὺ καὶ πιστότερον* Xenoph. Cyrop. VI. 4. 8. ubi cf. Bornem., *πολὺ τῆς προσηκούσης ἐλάττω* Demosth. c. Conon. 1261, 6. *πολὺ τῶν! ἀφεθέντων δικαιότερον* pro Phorm. 952, 9. ubi cf. Schaef. *ἢ πολύ μοι διὰ βραχυτέρων* Plat. Euthyphr. p. 134 Engelh. Quid quod auctor orationis c. Theocrin., quae inter Demosthenicas legitur p. 1327, 15. *πολὺ* duobus versibus interpositis a *μᾶλλον* divellit? Idem usu obtinuit in adverbiis *οὕτω* (Demosth. 282, 3 c. n. Sch.; 301, 27. 668, 5. 1300, 15. 837, 10. Xenoph. Cyrop. 2. 2. 13) *πάνυ* (Demosth. 1256 c. n. Sch.; 622, 24. Plat. Apol. 31. Symp. 192, B.), similibus. 3) *πολλῶ* Ald. Herv. 4) *ἔκβασιν* coni. W.; idem *τοῖς πᾶσι* asterisco notavit.

---

1) *τῆς πομπῆς* coni. Wolf., idem vel *ταῖς πομπαῖς* Reisk. 2) *ἐποιεῖτο γρ. Σ'*, recepit Bu. 3) *Φιλομήδου* r. 4) *ταῦτα*] *ταῦτα ἐξιόντων ΠΣΥΩs* Felic. Paul. Herv. 2da, „quod ferri potest addito articulo *κ. τ. τῶν ἐξιόντων πάντες*, etsi potius dicendum erat *καὶ ταῦτα τῶν ἱππέων πάντες ἴσασιν οἱ ἐξιόντες*“. W. 5) *πάντα* tv Bav. Ald. Herv. 1ma Wolf., om. Lut. 6) *συνιππεῖς* Aug. kr. 7) Ita *ΠΣΥΩs* Felic. Herv. 2da, *ἀλλὰ μὴν ὅτι* vulg., *μὴν* om. Paul. 8) *ταῦτα* vulg. ante R. 9) *τοὺς* om. F*ΠΣΥΩ* Bav.

514 Bk. ἤδη καταχειροτονήσαντος τοῦ δήμου περὶ τὴν ἑορτὴν [1]) ἀδικεῖν ὑμεῖς κατεγνώκατε, εἰπεῖν, καὶ δεῖξαι, τί πεποιηκότες αὐτῶν [2]) ἔνιοι τίνος ὀργῆς [3]) τετυχήκασι παρ' ὑμῶν, ἵνα ταῦτα [4]) πρὸς τὰ τούτῳ πεπραγμένα ἀντιθῆτε [5]). πρῶτον μὲν τοίνυν, ἵνα πρώτης [6]) τῆς [7]) τελευταίας [8]) e. γεγονυίας μνησθῶ καταγνώσεως, περὶ τὰ μυστήρια ἀδικεῖν Εὐάνδρου κατεχειροτόνησεν ὁ δῆμος τοῦ Θεσπιέως,

---

τον. ἐξήτακε γὰρ τοὺς πρώτους [1]) περὶ τὴν ἑορτὴν ἀδικήσαντας καὶ κολασθέντας, ὅπερ οἰκεῖόν ἐστι τῇ παρούσῃ ὑποθέσει περὶ τὰ μυστήρια [2]). ἕτερος δὲ ὁ ἐν τοῖς Διονυσίοις. ὁ μέντοι ῥήτωρ ὡς ὅμοιον συνελογίσατο τῷ [3]) κοινὸν καθ' ἑκάτερον εἶναι τὸ τῆς ἑορτῆς ὄνομα. (Τὴν πηλικότητα νῦν ἐπιλογίζεται. B.)

Καὶ ὅσον [4]) ἤδη καταχειροτονήσαντα [5]).] Χρησιμώτατον [6]) μέλλοντος ἀνίστασθαι τοῦ δικαστηρίου μνήμην ἀνακινεῖ τῶν ἡμαρτηκότων ἐν ταῖς ἑορταῖς καὶ κεκολασμένων [7]), ἵνα ἐρεθισθῶσιν εἰς ἀγανάκτησιν.

(Πρῶτον μὲν τοίνυν, ἵνα πρώτης.] Παράδειγμα ἀπὸ τοῦ ἐλάττονος. B.)

Τοῦ Θεσπιέως.] Οἱ μὲν δῆμόν τινα ἐξέλαβον [8]), ὡς τοῦ Εὐάνδρου Ἀθηναίου τυγχάνοντος, οἱ δὲ καὶ αὐτὸν

1) An πρότερον? 2) Patet haec esse corrupta, et corrupta sibi videri iam W. significavit asterisco in latina horum verborum interpretatione posito; mihi nonnulla excidisse videntur in hunc fere modum restituenda: ὑποθέσει, ὧν ὁ μὲν ἕτερος ἦν ὁ περὶ τὰ μυστήρια, ἕτερος δὲ ὁ ἐν τοῖς Διονυσίοις sc. ἀδικήσας. 3) Ita W. et Lut., τὸ vulg. 4) ὅσων W. et Lut. 5) Ita Ald. et Herv., κατεχειροτόνησεν ὁ δῆμος W., καταχειροτονήσαντος Lut. 6) χρησιμώτατα W. de coni. 7) Ita W. de coni., κολασαμένων vulg. 8) ἐξέβαλον Lut., ἐκλαμβάνειν explicandi significatu scholiastis et omnibus labentis Graecitatis scriptoribus frequentatum.

---

1) ἑορτὴν] ἱερὰν t. 2) αὐτῶν om. kr Aug. Bu. Di. 3) ὀργῆς] ἑορτῆς Ω. 4) Ita Bu. Be., ἵν' αὐτὰ πρ. Fkrtv et vulg. ante Bu. 5) τιθῆτε ΠΥΩs. 6) πρῶτον kr Aug. Barocc., probat Tayl. 7) τῆς om. Felic. Paul. Herv. 1. 2. Wolf. 8) τελευτῆς s.

προβαλομένου [1]) αὐτὸν Μενίππου, Καρός τινος ἀνθρώπου. ἔστι δὲ [2]) ὁ αὐτὸς νόμος τῷδε τῷ περὶ τῶν Διονυσίων ὁ περὶ τῶν μυστηρίων, κἀκεῖνος ὕστερος τοῦδε [3]) ἐτέθη.
176 τί οὖν ποιήσαντος ὦ ἄνδρες Ἀθηναῖοι κατεχειροτονήσατε f.
τοῦ Εὐάνδρου [4]); τοῦτ' ἀκούσατε· ὅτι δίκην ἐμπορικὴν καταδικασάμενος τοῦ Μενίππου, οὐκ ἔχων πρότερον λαβεῖν αὐτόν, ὡς ἔφη, τοῖς μυστηρίοις ἐπιδημοῦντος ἐπελάβετο. κατεχειροτονήσατε μὲν διὰ ταῦτα, καὶ οὐδ' ὁτιοῦν [5]) ἄλλο προςῆν· εἰςελθόντα δὲ εἰς τὸ δικαστήριον ἠβούλεσθε [6]) g.
μὲν θανάτῳ κολάσαι [7]), τοῦ δὲ προβαλομένου [8]) πεισθέν-

---

ξένον ἐνόμισαν Θεσπιέα τῆς Βοιωτίας. ἐξῆν γὰρ τοῖς ξένοις ἐμπόροις, ὅπου ἐβούλοντο, ποιεῖσθαι τὰς δίκας.

Καρός τινος.] Ὑπερβολή, ὅτι καὶ ξένος ἦν ὁ προβαλλόμενος καὶ ὅμως οὐ παρημέληται.

Καταδικασάμενος.] Ἄλλο καταδικάσας καὶ ἄλλο καταδικασάμενος. τὸ μὲν γὰρ κυρίως ἐπὶ τῶν δικαζόντων δικαστῶν, τὸ δὲ ἐπὶ τῶν νικώντων τὰς δίκας καὶ αἰτιῶν γινομένων τοῦ [1]) καταδικασθῆναί τινα σημαίνει [2]) τὸ ῥητόν.

Τοῖς μυστηρίοις ἐπιδημοῦντος.] Ἴσως τὴν ἑορτὴν πρόβλημα καὶ ἀσφάλειαν ἡγησάμενος, ἐτόλμησεν ὀφθῆναι, κἀκεῖνος ὡς ἐν ἄλλῳ μὴ εὑρίσκων καιρῷ, κατέσχεν ὀργισθείς.

Τοῦ δὲ προβαλλομένου.] Ὡρμήσατε μέν, φη-

1) Ita W. de coni., τὸ vulg. 2) σημαίνει τὸ ῥητὸν mallem abessent.

---

1) Ita FΣ Bu. Be., προβαλλομένου vulg. 2) δ' Be. 3) Ita Aug. Bav. Bu. Be., qui nullam notavit scripturae discrepantiam, τούτου vulg. ante Bu. 4) Ita distinxit Be., Εὐάνδρου, τοῦτ' vulg. 5) Ita Bu, Be., οὐδοτιοῦν vulg. 6) Ita Bu. Be. ΣΥΩs, ἐβούλεσθε FΠtv et vulg. ante Reisk., ἐβουλεύσασθε Barocc. Aug. Reisk., ἐβουλεύεσθε Par. 5. 7) κολάσαι Barocc. Lind. Obsop. Aug. Vind. Ital. Parr. 1. 2. Be., ζημιῶσαι Ftv et vulg. ante Be. 8) Ita Aug. Bav. mg. Lut. Reisk. Bu. Be., προβαλλομένου Ω et vulg. ante R.

τος τὴν δίκην τε [1]) πᾶσαν ἀφεῖναι ἠναγκάσατε αὐτόν, ἣν
ᾑρήκει [2]) πρότερον (ἦν δὲ δυοῖν αὕτη ταλάντοιν), καὶ
προςετιμήσατε τὰς βλάβας, ἃς ἐπὶ τῇ καταχειροτονίᾳ μέ- 572
νων ἐλογίζετο αὐτῷ γεγενῆσθαι πρὸς ὑμᾶς ἄνθρωπος [3]). R.
177 εἷς μὲν οὗτος ἐξ ἰδίου πράγματος, οὐδεμιᾶς ὕβρεως προς- h.
ούσης, ὑπὲρ αὐτοῦ τοῦ παραβῆναι τὸν νόμον τοσαύτην
ἔδωκε δίκην, εἰκότως· τοῦτο γάρ ἐσθ᾽, ὃ φυλάττειν ὑμᾶς
δεῖ, τοὺς [4]) νόμους, τὸν ὅρκον· ταῦτ᾽ ἔχεθ᾽ ὑμεῖς οἱ δικά-

σί, θανάτῳ περιβαλεῖν· τοῦ δὲ κατηγόρου πεισθέντος καὶ ἀρκεσθέντος τιμωρίᾳ τοιαύτῃ [1]), εἰ μὴ ὑπεύθυνος εἴη τῇ προτέρᾳ καταδίκῃ, ἣν ὑπέμεινεν [2]) ἡττηθεὶς τὴν ἐμπορικὴν δίκην τὸ πρότερον, συνδραμόντες ἠναγκάσατε αὐτὸν ἀποστῆναι καὶ μηκέτι ἀπαιτῆσαι τὸν Μένιππον.

Καὶ προςετιμήσατε τὰς βλάβας.] Καὶ πρὸς τῷ [3]) ἀφεῖναι τὴν καταδίκην καὶ ἀναγκάσαι ἀποστῆναι ταύτης τὸν Εὔανδρον, αἰτιασαμένου πάλιν τοῦ Μενίππου καὶ [4]) ἄλλας ὑπέστη βλάβας περὶ τα φορτία καὶ τὴν ἐμπορίαν διὰ τὴν κρίσιν Ἀθήνησι κατεχόμενος, προςετάξατε αὐτὸν καὶ ταύτας ἐκτῖσαι.

Εἷς μὲν οὗτος ἐξ ἰδίου πράγματος.] Οὐκοῦν τὸ ῥηθὲν παράδειγμα ἀπὸ τοῦ ἐλάττονος εἴληπται, εἴπερ τὰ ἰδιωτικὰ τῶν δημοσίων ἐλάττονα.

Οὐδεμιᾶς ὕβρεως.] Οὐ γὰρ ἐτύπτησεν αὐτὸν οὐδὲ ὕβρισεν ἀλλὰ κατέσχε μόνον· τοῦτο δὲ οὐκ [5]) ἐξῆν. διὸ καὶ ἐπάγει ἐπαινῶν, ὡς καλῶς ἐγένετο· μάλα γὰρ ἀγαθὸν ἡ φυλακὴ τῶν νόμων.

1) τιμωρία τοιαύτη Ald. Herv. 2) ὑππέμεινεν Herv. W. 3) Ita W. de coni., τὸ vulg. 4) καὶ] ὅτι Lut., malim ὡς καὶ (ὡς enim et καὶ quoties sint confusa, satis constat), vel (ὡς non addito) ὑπέστην. 5) οὐκ revocavi ex Ald., sensu flagitante; quod miror non iam a Wolfio esse factum, cum recte interpretatus sit: „id quod non licebat“.

1) τε om. FΩtv Bav. 2) εἰρήκει Aug. ΠΥΩrs; ᾑρήκει asterisco notatur in Herv. 1ma. 3) Ita Be., ἄνθρωπος vulg., ὁ ἄνθρωπος coni. Tayl., ἄνθρωπος Κάρ coni. Reisk., ὑμᾶς. ἄνθρωπος εἷς distinguitur vulg. ante Lut. 4) τοὺς] πρὸς s.

ζοντες ἀεὶ παρὰ τῶν ἄλλων ὥςπερεὶ 1) παρακαταθήκην,
ἣν ἅπασιν, ὅσοι μετὰ τοῦ δικαίου πρὸς ὑμᾶς ἔρχονται,
178 σώαν 2) ὑπάρχειν δεῖ. ἕτερος ἀδικεῖν ποτ᾽ ἔδοξεν 3) ὑμῖν 48
περὶ τὰ Διονύσια, καὶ κατεχειροτονήσατ᾽ αὐτοῦ παρε- Bu.
δρεύοντος ἄρχοντι 4) τῷ υἱεῖ, ὅτι θέαν τινὸς καταλαμβά-
515 νοντος 5) ἥψατο, "ἐξείργων ἐκ τοῦ θεάτρου· ἦν δ᾽ 6) οὐ-
Bk.

---

Ἕτερος ἀδικεῖν ποτ᾽ ἔδοξεν.] Τοῦτο ὅμοιον μὲν κατὰ πάντα τοῖς παροῦσιν· καὶ γὰρ καὶ περὶ τὰ Διονύσια καταχειροτονία γέγονεν· ἔστι δ᾽ ὅμως σαθρότερον τῷ 1) μὴ εἰςελθεῖν εἰς δικαστήριον τὴν κρίσιν. ἔστιν οὖν ἀπὸ τῆς ἐκβάσεως ἀσθενές. διὸ καὶ μέσον αὐτὸ 2) τῶν δύο τέθεικε τῶν ἰσχυρῶν τοῦ τε κατὰ Εὔανδρον 3) τὸν ζημιωθέντα τοῖς 4) χρήμασι καὶ τοῦ κατὰ Κτησικλέα, τὸν θανάτῳ καταδικασθέντα. (Ἀπὸ τοῦ ὁμοίου· ἔστι δὲ ἀπὸ τῆς ἐκβάσεως ἀσθενές. B.)

Παρεδρεύοντος ἄρχοντος 5) τῷ υἱεῖ.] Συμπονοῦντος καὶ συμπαρόντος τῷ παιδί, μή πού τι ὡς νέος ἁμάρτῃ κατὰ τὴν ἀρχήν. πάρεδροι γὰρ ἐδίδοντο 6) τοῖς νεωτέροις, οἱ νῦν καλούμενοι συγκάθεδροι. ἐπειδὴ γὰρ ὁ ἄρχων πάσας τὰς ὀρφανικὰς καὶ κληρικὰς ἐδίκαζεν, ἐνίοτε δὲ διὰ τὴν ἡλικίαν ἀπείρως εἶχε τοῦ διακρίνειν, ἐδίδοτο αὐτῷ πάρεδρος ὁ συνδοκιμάζων.

Ἥψατο ἐξείργων.] Ἔτυψέ τινα περὶ καθέδρας ἀμφισβητοῦντα, ἑτέρου προκαταλαβόντος 7).

1) Ita W. et Lut., τὸ vulg. 2) Ita W., αὐτὸς vulg. 3) Ita W. et Lut., ἴσανδρον vulg. 4) τοῖς malim abesse. 5) ἄρχοντι W. et Lut. 6) Assessores non civitas dabat, sed sibi quisque praetorum quasi legabat. Etiam in eo errat Ulpianus, quod propter aetatis imperitiam rerum additos magistratibus assessores dicit, deceptus fortasse Romanorum exemplis, apud quos satis constat consilium vel assessores post praetoris tergum vel ad eius latus in tribunali collocatos huic, plerumque iuris imperitissimo, verba praeivisse, quae adeuntibus pronunciaret. cf. Senec. de tranq. anim. 3. (quo de loco cf. Cuiac. Obss. XXII. extr.) Ammian. Marcell. 23, 6. Cic. de orat. l. 37. pro Planc. 25. de legg. 3. 7) ἑτ. προκ.] Malim τὴν ἑτέρου προκαταλαβόντα.

---

1) ὥςπερ pr. F. 2) σῶν Aug. kr Spald. Bu. Dind., σῴαν Be. σῶαν vulg. ante R. 3) ἔδειξεν Ald. Herv. 1ma. 4) ἄρχοντος t schol. et Etym. *M.* υ. πάρεδροι. 5) καταλαβόντος Aug. kr mg. Lut. Reisk. Bu. 6) δὲ vulg. ante R.

τος ὁ τοῦ βελτίστου πατὴρ Χαρικλείδου, τοῦ ἄρξαντος.
καὶ μέγα γ' ὑμῖν τοῦτ' ἐδόκει [1] δίκαιον ἔχειν [2] ὁ προβαλ-
179 λόμενος [3] λέγειν, „εἰ κατελάμβανον ἄνθρωπε [4] θέαν, b.
εἰ [5] μὴ τοῖς κηρύγμασιν, ὡς σύ με [6] φῄς [7], ἐπειθόμην,
τίνος ἐκ τῶν νόμων εἶ κύριος [8] καὶ ὁ ἄρχων αὐτός; τοῖς

---

*Εἰ κατελάμβανον ἄνθρωπε θέαν.*] Τουτέστιν, εἰ καθέδραν ἀλλοτρίαν κατεῖχον.

*Καὶ εἰ μὴ τοῖς κηρύγμασιν.*] Ἐκήρυττε [1] γὰρ ὁ ἄρχων διὰ τοῦ κήρυκος, εὐκοσμίαν ἔχειν ἐν τοῖς θεάτροις. εἰ τοίνυν ἠπείθουν, φησί, τῷ κηρύγματι καὶ ἠτάκτουν. μιμεῖται γὰρ τοῦ προβαλλομένου τὰς φωνάς.

*Τίνος ἐκ τῶν νόμων εἶ κύριος.*] Τουτέστιν, οὐ σοὶ παρέδρῳ δεδώκασιν [2] οἱ νόμοι τὸν ἀκοσμοῦντα ἐξείργειν, ἀλλ' οὐδὲ αὐτῷ τῷ ἄρχοντι τοῦτο ἔξεστιν αὐτοχειρίως ποιεῖν, ἀλλ' ἐπιτάττειν τοῖς ὑπηρέταις. ζητήσειεν οὖν ἄν τις, πῶς ἠγανάκτει ὁ ἄνθρωπος; διότι [3] ὑπὸ τῶν ὑπηρετῶν ἐξεβλήθη καταμαθόντων ἐκείνων, ὅτι οὐδὲ ἀδικεῖ.

*Καὶ ὁ ἄρχων αὐτός.*] Ἀλλὰ πατὴρ εἶ [4], φησί, τοῦ ἄρχοντος. οὐδ' αὐτὸς οὗτος ὁ ἄρχων τύπτειν κύριος, ἀλλὰ προστάττειν [5] τοῖς ὑπηρέταις, ἐπισχεῖν τὰ γινόμενα.

1) ἐκήρυπτε Ald. 2) δεδύκασιν Herv. 3) Haec patet corrupta esse et corrupta sibi videri W. significavit asterisco posito; erat cum coniicerem: ὁ ἄνθρωπος διότι οὐδὲ ὑπὸ τῶν ὑπηρετῶν ἐξεβλήθη καταμαθόντων ἐκείνων ὅτι ἀδικεῖ; 4) Scribendum videtur πατὴρ εἶ, φῄς, τοῦ, aut πατήρ εἰμι, φησί, τοῦ. 5) Ita W. et Lut., προστάττει vulg.

---

1) καὶ post ἐδόκει om. kr Aug. Reisk. Bu. (qui etiam ab eo libro, quem Be. s dicit, abesse copulam testatur) et Dind., omitti vult etiam Schaef., revocavit particulam Be. 2) ἔχειν om. r. 3) Ita ΠΣΩr Bu. Be. et vulg. ante Reisk., προβαλόμενος Reisk. cum Aug. Bav. mg. Lut. et reliquis libris Bekkeri. 4) ἄνθρωπε θέαν om. Aug. kr. 5) εἰ] καὶ εἰ Lut. Reisk. Bu., quanam librorum auctoritate, non constat; Reisk. εἰ abesse mavult. 6) με om. Aug. kr, μ' ΥΩs. 7) Ita Bu. Be., φῆς vulg. ante Bu. kr Aug., ἔφης ΥΩs. 8) κύρος Herv. 1ma Wolf.

ζοντες ἀεὶ παρὰ τῶν ἄλλων ὡςπερεὶ [1]) παρακαταθήκην,
ἣν ἅπασιν, ὅσοι μετὰ τοῦ δικαίου πρὸς ὑμᾶς ἔρχονται,
178 σώαν [2]) ὑπάρχειν δεῖ. ἕτερος ἀδικεῖν ποτ᾽ ἔδοξεν [3]) ὑμῖν 48
περὶ τὰ Διονύσια, καὶ κατεχειροτονήσατ᾽ αὐτοῦ παρε- Bu.
δρεύοντος ἄρχοντι [4]) τῷ υἱεῖ, ὅτι θέαν τινὸς καταλαμβά-
515 νοντος [5]) ἥψατο, "ἐξείργων ἐκ τοῦ θεάτρου· ἦν δ᾽ [6]) οὐ-
Bk.

*Ἕτερος ἀδικεῖν ποτ᾽ ἔδοξεν.*] *Τοῦτο ὅμοιον μὲν κατὰ πάντα τοῖς παροῦσιν· καὶ γὰρ καὶ περὶ τὰ Διονύσια καταχειροτονία γέγονεν· ἔστι δ᾽ ὅμως σαθρότερον τῷ* [1]) *μὴ εἰςελθεῖν εἰς δικαστήριον τὴν κρίσιν. ἔστιν οὖν ἀπὸ τῆς ἐκβάσεως ἀσθενές. διὸ καὶ μέσον αὐτὸ* [2]) *τῶν δύο τέθεικε τῶν ἰσχυρῶν τοῦ τε κατὰ Εὔανδρον* [3]) *τὸν ζημιωθέντα τοῖς* [4]) *χρήμασι καὶ τοῦ κατὰ Κτησικλέα, τὸν θανάτῳ καταδικασθέντα.* (*Ἀπὸ τοῦ ὁμοίου· ἔστι δὲ ἀπὸ τῆς ἐκβάσεως ἀσθενές.* B.)

*Παρεδρεύοντος ἄρχοντος* [5]) *τῷ υἱεῖ.*] *Συμπονοῦντος καὶ συμπαρόντος τῷ παιδί, μή πού τι ὡς νέος ἁμάρτῃ κατὰ τὴν ἀρχήν. πάρεδροι γὰρ ἐδίδοντο* [6]) *τοῖς νεωτέροις, οἱ νῦν καλούμενοι συγκάθεδροι. ἐπειδὴ γὰρ ὁ ἄρχων πάσας τὰς ὀρφανικὰς καὶ κληρικὰς ἐδίκαζεν, ἐνίοτε δὲ διὰ τὴν ἡλικίαν ἀπείρως εἶχε τοῦ διακρίνειν, ἐδίδοτο αὐτῷ πάρεδρος ὁ συνδοκιμάζων.*

*Ἥψατο ἐξείργων.*] *Ἔτυψέ τινα περὶ καθέδρας ἀμφισβητοῦντα, ἑτέρου προκαταλαβόντος* [7]).

1) Ita W. et Lut., *τὸ* vulg. 2) Ita W., *αὐτὸς* vulg. 3) Ita W. et Lut., *ἴσανδρον* vulg. 4) *τοῖς* malim abesse. 5) *ἄρχοντι* W. et Lut. 6) Assessores non civitas dabat, sed sibi quisque praetorum quasi legabat. Etiam in eo errat Ulpianus, quod propter aetatis imperitiam rerum additos magistratibus assessores dicit, deceptus fortasse Romanorum exemplis, apud quos satis constat consilium vel assessores post praetoris tergum vel ad eius latus in tribunali collocatos huic, plerumque iuris imperitissimo, verba praeivisse, quae adeuntibus pronunciaret. cf. Senec. de tranq. anim. 3. (quo de loco cf. Cuiac. Obss. XXII. extr.) Ammian. Marcell. 23, 6. Cic. de orat. I. 37. pro Planc. 25. de legg. 3. 7) *ἑτ. προκ.*] Malim *τὴν ἑτέρου προκαταλαβόντα.*

1) *ὥςπερ* pr. F. 2) *σῶν* Aug. kr Spald. Bu. Dind., *σῴαν* Be. *σῶαν* vulg. ante R. 3) *ἔδειξεν* Ald. Herv. 1ma. 4) *ἄρχοντος* t schol. et Etym. *M.* *v.* *πάρεδροι.* 5) *καταλαβόντος* Aug. kr mg. Lut. Reisk. Bu. 6) *δὲ* vulg. ante R.

τος ὁ τοῦ βελτίστου πατὴρ Χαρικλείδου, τοῦ ἄρξαντος.
καὶ μέγα γ' ὑμῖν τοῦτ' ἐδόκει [1]) δίκαιον ἔχειν [2]) ὁ προβαλ-
179 λόμενος [3]) λέγειν, „εἰ κατελάμβανον ἄνθρωπε [4]) θέαν, b.
εἰ [5]) μὴ τοῖς κηρύγμασιν, ὥς σύ με [6]) φῄς [7]), ἐπειθόμην,
τίνος ἐκ τῶν νόμων εἶ κύριος [8]) καὶ ὁ ἄρχων αὐτός; τοῖς

---

*Εἰ κατελάμβανον ἄνθρωπε θέαν.*] Τουτέστιν, εἰ καθέδραν ἀλλοτρίαν κατεῖχον.

*Καὶ εἰ μὴ τοῖς κηρύγμασιν.*] Ἐκήρυττε [1]) γὰρ ὁ ἄρχων διὰ τοῦ κήρυκος, εὐκοσμίαν ἔχειν ἐν τοῖς θεάτροις. εἰ τοίνυν ἠπείθουν, φησί, τῷ κηρύγματι καὶ ἠτάκτουν. μιμεῖται γὰρ τοῦ προβαλλομένου τὰς φωνάς.

*Τίνος ἐκ τῶν νόμων εἶ κύριος.*] Τουτέστιν, οὗ σοὶ παρέδρῳ δεδώκασιν [2]) οἱ νόμοι τὸν ἀκοσμοῦντα ἐξείργειν, ἀλλ' οὐδὲ αὐτῷ τῷ ἄρχοντι τοῦτο ἔξεστιν αὐτοχειρίως ποιεῖν, ἀλλ' ἐπιτάττειν τοῖς ὑπηρέταις. ζητήσειεν οὖν ἄν τις, πῶς ἠγανάκτει ὁ ἄνθρωπος; διότι [3]) ὑπὸ τῶν ὑπηρετῶν ἐξεβλήθη καταμαθόντων ἐκείνων, ὅτι οὐδὲ ἀδικεῖ.

*Καὶ ὁ ἄρχων αὐτός.*] Ἀλλὰ πατὴρ εἶ [4]), φησί, τοῦ ἄρχοντος. οὐδ' αὐτὸς οὗτος ὁ ἄρχων τύπτειν κύριος, ἀλλὰ προστάττειν [5]) τοῖς ὑπηρέταις, ἐπισχεῖν τὰ γινόμενα.

1) ἐκήρυπτε Ald. 2) δεδύκασιν Herv. 3) Haec patet corrupta esse et corrupta sibi videri W. significavit asterisco posito; erat cum coniicerem: ὁ ἄνθρωπος διότι οὐδὲ ὑπὸ τῶν ὑπηρετῶν ἐξεβλήθη καταμαθόντων ἐκείνων ὅτι ἀδικεῖ; 4) Scribendum videtur πατὴρ εἶ, φῄς, τοῦ, aut πατήρ εἰμι, φησί, τοῦ. 5) Ita W. et Lut., προστάττει vulg.

---

1) καὶ post ἐδόκει om. kr Aug. Reisk. Bu. (qui etiam ab eo libro, quem Be. s dicit, abesse copulam testatur) et Dind., omitti vult etiam Schaef., revocavit particulam Be. 2) ἔχειν om. r. 3) Ita ΠΣΩr Bu. Be. et vulg. ante Reisk., προβαλόμενος Reisk. cum Aug. Bav. mg. Lut. et reliquis libris Bekkeri. 4) ἄνθρωπε θέαν om. Aug. kr. 5) εἰ] καὶ εἰ Lut. Reisk. Bu., quanam librorum auctoritate, non constat; Reisk. εἰ abesse mavult. 6) με om. Aug. kr, μ' ΥΩs. 7) Ita Bu. Be., φὴς vulg. ante Bu. kr Aug., ἔφης ΥΩs. 8) κύρος Herv. 1ma Wolf.

ὑπηρέταις ἐξείργειν εἰπεῖν, οὐκ αὐτὸς τύπτειν. οὐδ' [1])
οὕτω πείθομαι [2])· ἐπιβολὴν [3]) ἐπιβάλλειν, πάντα μᾶλ-
λον [4]), πλὴν αὐτὸς ἅψασθαι τῇ χειρί· πολλὰ γὰρ πρὸ [5])
τοῦ μὴ τὸ σῶμα [6]) ἕκαστον ὑβρίζεσθαι πεποιήκασιν οἱ νό-
μοι.“ ταῦτ' ἔλεγε μὲν ἐκεῖνος, κατεχειροτονήσατε [7]) δὲ c.
ὑμεῖς· οὐ μὴν εἰςῆλθεν εἰς τὸ δικαστήριον οὗτος, ἀλλ' ἐτε-
180 λεύτησε πρότερον. ἑτέρου τοίνυν ὅ τε δῆμος ἅπας κατε-
χειροτόνησεν ἀδικεῖν περὶ τὴν ἑορτήν, καὶ ὑμεῖς εἰςελ-
θόντα ἀπεκτείνατε· [8]), Κτησικλέα λέγω.. διὰ τί δή [9]);

---

*Οὐδ' οὕτω πείθομαι ἐπιβολὴν ἐπιβάλλειν.*] Ἀλλ' ὑπομνήσαντι τῷ ὑπηρέτῃ οὐκ ἐπείσθην ἐξείργοντι. ἐχρῆν σε ὡς μὴ πειθομένῳ ζημίαν ἐπιθεῖναι καὶ ὁρίσαι.

*Ἀλλ' ἐτελεύτησε πρότερον.*] Προὔλαβε τῇ τελευτῇ τὸ δικαστήριον.

*Ἑτέρου τοίνυν.*] Ὡς πρὸς τοὺς δικασθέντας [1]) τὸ „ἕτερον“ εἴληφε νῦν, ἐπειδὴ περὶ τοῦ ἑνὸς εἶπεν ὡς προαπέθανεν, εἰ καὶ τὰ μάλιστα καὶ ἐπὶ τριῶν εὑρίσκεται τὸ ἕτερον [2]).

*Ἀπεκτείνατε τοῦτον.*] Τοῦτό ἐστι το ἰσχυρότερον παράδειγμα, διὸ καὶ τέθειται τελευταῖον. καὶ γὰρ περὶ τὰ Διονύσια γέγονε, καὶ θανάτῳ κεκόλασται.

1) καταδικασθέντας W. de coni. 2) Spectant haec ad notum illud discrimen, quod ἕτερος μὲν ἐπὶ δυοῖν, ἄλλος δὲ ἐπὶ πλειόνων dicitur, Ammon. p. 11. p. 61. Valck. Eustath. ad Od. ε, 265 p. 1534, 42. λ, 256. p. 1682. 40., quod discrimen grammaticorum veterum sat multos negasse et Atticorum usui repugnare idem Eustathius egregio loco ad Od. η, 124. p. 1573, 48 docet, quicum fere conspirat, Philem. p. 61 Osann.

---

1) εἰ δ' οὐδ' οὕτω vel εἰ δ' οὔπω mavult Iurin. 2) interrogandi signum post πείθομαι ponunt Reisk. Be. Schaef. 3) ἐπιβολὴν ζημίαν ἐπιβ. Π. 4) μᾶλλον om. kr Aug. 5) Ita ΠΣΥΩkrs Vind. Ital. Lindenbr. Barocc. Aug. Bu. Dind., πρὸς τὸ Be. et vulg. ante Bu. 6) μὴ εἰς (vel κατὰ) τ. σ. ἕκ. vel μὴ τὸ σῶμα ἑκάστου coni. W., probat R., repugnante Tayloro. 7) ἐχειροτονήσατε Σ. 8) ἀπεκ. τοῦτον κτ. ΠΣΥΩ Paris. 1. idemque Taylor. in aliquot suorum librorum repperit. 9) λέγω διὰ τί δὴ om. Σ.

ὅτι [1]) σκῦτος [2]) ἔχων ἐπόμπευε, καὶ τούτῳ μεθύων ἐπά-
ταξέ τινα ἐχθρὸν ὑπάρχοντ᾽ αὐτῷ· ἐδόκει γὰρ [3]) ὕβρει
καὶ οὐκ οἴνῳ τύπτειν, ἀλλὰ τὴν ἐπὶ [4]) τῆς πομπῆς καὶ 573
τοῦ μεθύειν πρόφασιν λαβὼν [5]) ἀδικεῖν, ὡς δούλοις χρώ- R.
81 μενος τοῖς ἐλευθέροις. ἁπάντων τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι e.
τούτων, ὧν ὁ μὲν ὧν [6]) εἷλεν ἀποστάς, ὁ δὲ καὶ θανάτῳ
ζημιωθεὶς φαίνεται, πολλῷ δεινότερα [7]) εὖ [8]) οἶδ᾽ ὅτι
πάντες [9]) ἂν εἶναι φήσειαν [10]) τὰ Μειδίᾳ πεπραγμένα·

---

Ὅτι σκῦτος [1]) ἔχων.] Οἱ πομπεύοντες τῷ Διονύσῳ κατὰ μίμησιν τῆς περὶ αὐτὸν θεραπείας ἐπόμπευον, οἱ μὲν τὸ τῶν Σατύρων σχῆμα σώζοντες, οἱ δὲ τὸ τῶν Βάκχων, οἱ δὲ τὸ τῶν Σειληνῶν ἐμιμοῦντο. (Σκῦτος πᾶν δέρμα, ἀφ᾽ οὗ καὶ σκυτεύς. B.)

Ἁπάντων τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι.] Διὰ τὸν Εὔανδρον [2]), ὃς [3]) ἀπέστη τῆς δίκης [4]), καὶ ταῦτα νικήσας, διὰ τὸ ἡμαρτηκέναι [5]) ἐν τῇ ἑορτῇ. τὸ μέσον δὲ ἐσιώπησε, τὸν παρεδρεύοντα τῷ ἄρχοντι, διότι ἀσθενέστερον ἦν τὸ κατ᾽ αὐτόν [6])· οὐδὲ γὰρ ἔσχεν εἰπεῖν τιμωρίαν κατ᾽ αὐτοῦ γεγονυῖαν οὐδεμίαν.

1) σκύτος Lut. 2) Μένιππον mg. Lut., male. 3) ὡς Ald. Herv. 4) Ita Lut., νίκης vulg.; W. asterisco in latina interpretatione posito locum sibi corruptum videri significavit. 5) ἡμαρτ.] τὸν Εὔανδρον ἡμαρτ. Lut. 6) Ita W. de coni., τὸ καθ᾽ αὐτὸν Ald. Herv., τοῦ καθ᾽ αὐτὸν Lut.

---

1) ὅτι] Ita Be., id quod probat Schaef., τοῦτον ἀπεκτείνατε; ὅτι Ftv et vulg. ante Be., ἀπεκτείνατε τοῦτον; ὅτι Aug. kr, ἀπεκτείνατε τοῦτον. Κτησικλέα λέγω. διὰ τί δή; ὅτι coni. Tayl., ἀπεκτ. τοῦτον, Κτησ. λέγω, ὅτι σκῦτος Dind. 2) Ita schol. et Dind., σκότος t, σκύτος vulg. 3) γὰρ om. r. 4) ἐπὶ] ἐκ coni. Reisk. 5) λαμβάνων Aug. kr. 6) ὧν om. FΠΣΥΩstv Ald. Herv. 1. 2. Felic. Lut., ὧν ὁ μὲν τῆς ἧς εἷλεν δίκης ἀποστάς coni. Lamb., ὃν εἷλεν ἀπ. coni. Markl. 7) δεινότερ᾽ Be. 8) εὖ om. Bav. tv Ald. Herv. 1ma Wolf. 9) ἅπαντες kr. 10) φήσετε kr Aug., φήσητε Barocc.

οὔτε γὰρ πομπεύων οὔτε δίκην ἡρηκὼς οὔτε παρεδρεύων οὔτ' ἄλλην σκῆψιν οὐδεμίαν ἔχων [1]) πλὴν ὕβριν, τοιαῦτα πεποίηκεν, οἷα οὐδεὶς ἐκείνων. καὶ τούτους μὲν ἐάσω [2]). 49 Bu.
182 ἀλλὰ Πύῤῥον [3]) ὦ ἄνδρες Ἀθηναῖοι τὸν Ἐτεοβουτάδην ἐνδειχθέντα δικάζειν ὀφείλοντα τῷ δημοσίῳ θανάτῳ [4]) ζημιῶσαί τινες [5]) ὑμῶν ᾤοντο χρῆναι· καὶ τέθνηκεν ἁλοὺς

---

*Οὔτε γὰρ πομπεύων.*] Ἐν ᾧ καὶ συγγνώμη τις ἦν διὰ τὸ ἔθος, ὅτι καὶ σκῦτος [1]) ἔχων ἐπόμπευεν.

*Οὔτε δίκην ἡρηκώς.*] Οὔτε νικήσας δίκην· καὶ οὕτω γὰρ εἶχε συγγνώμην, ἔκδοτον λαβὼν καὶ ὑπεύθυνον ψήφῳ δικαστῶν.

*Οὔτε παρεδρεύων.*] Ὥςπερ ὁ πατήρ, καὶ τούτου γὰρ μέμνηται [2]) νῦν ἐν τῇ συναγωγῇ διὰ τὴν γνώμην [3]).

*Ἀλλὰ Πύῤῥον ὦ ἄνδρες Ἀθηναῖοι.*] Ταῦτα τὰ παραδείγματα τοῖς μὲν πράγμασιν οὐκ ἔστιν ὅμοια (οὔτε γὰρ περὶ τὰ Διονύσια οὔτε περὶ τὴν ἑορτὴν ἠδίκησαν οἱ κολασθέντες), ἀλλὰ τῆς κολάσεως εἵνεκα μόνης παρελήφθη, ὅτι καὶ ἄλλοι τινὲς ἐπὶ πολλῷ [4]) μικροτέροις ἀδικήμασι μεγάλας ἔδοσαν δίκας. ἐν τοῖς ἀνωτέρω δὲ μνημονεύσας τῶν περὶ τὴν ἑορτὴν ἠδικηκότων καὶ κολασθέντων, νῦν εἰς μέσον ἄγει καί τινας δόντας μὲν δίκας, ἐπ' ἄλλοις δὲ πλημμελήμασιν. ἔστι δὲ ἀπὸ τοῦ ἐλάττονος τὰ ἐπιχειρήματα. Ἐτεοβουτάδην δὲ τὸν ἀληθῶς εὐγενῆ. τὸ γὰρ ὄνομα ἀπὸ Βούτου τινὸς ἀρχαίου γέγονεν Ἀθηναίου οὕτω καλουμένου, καὶ τὸ ἐτεὸν τὸ ἀληθές.

*Ἐνδειχθέντα.*] Κατηγορεῖται [5]) ὡς ἐν τοῖς δικασταῖς κληρωθεὶς οὐκ ἐξόν· ὡς ὀφείλων γὰρ χρήματα κοινὰ ἦν ἄτιμος.

1) *σκύτος* Lut. 2) *μέμνυται* Ald. 3) Ante *γνώμ.* W. asteriscum posuit. 4) *πολλῷ* Herv. 5) *κατηγόρηται* mg. Lut., placet.

---

μεγαλοφρονεῖν τῶν ἐπαινετῶν· οὕτω 1) οὖν τινας καὶ μεγαλόφρονας καλοῦμεν· ἀλλὰ τὸ „βίαιος καὶ ἀναιδὴς“ προστεθὲν οὐ μεγαλοφροσύνην ἀλλὰ μᾶλλον ὑπερηφανίαν καὶ ἀλαζονείαν τὸ πρᾶγμα πεποίηκεν.

Ποῦ ληφθήσεται νῦν.] Πικροτάτην ἔμφασιν δέδωκεν, ὅτι ποῦ 2) δυνατὸν ἐπιληφθῆναι 3); ἐὰν γὰρ κατασχὼν φθάσῃ τὴν ἀκρόπολιν, ποῦ αὐτὸν ἔτι δυνήσεσθε λαβεῖν; φανερῶς μὲν οὖν ἐγκαλεῖν τὴν τυραννίδα οὐ δύναται διὰ τὸ ὑπερβάλλον τοῦ ἐγκλήματος· οἶδε γάρ, ὅτι καταλιπὼν ὁ δῆμος τὸ περὶ τῆς ὕβρεως ζητεῖν, ἐπὶ τοὺς ἐλέγχους τοὺς περὶ τῆς τυραννίδος τραπήσεται. μὴ ἔχων δὲ τούτους σαφεῖς παρασχέσθαι, κινδυνεύσει διὰ τῶν ἐμφάσεων καὶ τῶν ὑπονοιῶν. ὁμοῦ οὖν 4) καὶ τὸ ἄληπτον ἑαυτῆς 5) τηρεῖ, καὶ τὸν ἐχθρὸν ἐπίφθονον καθίστησιν.

Ἀλλ᾽ ἔγωγε εἰ μηδενὸς ἕνεκα.] Πάντα τὰ προσόντα τῷ Μειδίᾳ καθελὼν καὶ πανταχόθεν ἀλυσιτελῆ δείξας τοῖς Ἀθηναίοις, βούλεται καὶ τοὺς λόγους αὐτοῦ δεῖξαι χαλεποὺς καὶ ἐπαχθεῖς.

Καὶ ἐν καιροῖς.] Φαύλοις.

1) οὕτως W. 2) ποῦ δυν.] οὐδαμοῦ δυνατόν ἐστιν αὐτὸν Lut. 3) ἔτι ληφθῆναι W. 4) κινδυνεύσει. διὰ τῶν ἐμφάσεων οὖν καὶ τῶν ὑπονοιῶν ὅμου καὶ τὸ coni. W. Sufficit, si modo, τελείᾳ στιγμῇ post κινδ. posita, οὖν ante ὁμοῦ scribatur. 5) αὐτῆς Lut., ἑαυτῷ vel αὐτοῖς sc. τοῖς δικασταῖς coni. W. Malim ἑαυτοῦ.

---

1) ἐὰν ΠΩkrs. 2) Ita Ital. Par. 1. et vulg. post Reisk., ἑκάστοτ᾽ ἐδημηγόρει Fkrtv corr. Ω et vulg. ante R. 3) ἐν τοῖς καιροῖς Lut. Reisk., γρ. ἐν καιροῖς mg. Lut. et schol., ἐν τοῖς μεγίστοις καιροῖς coni. Reisk. Reliqui libri et scripti et typis impressi magno consensu vulgatum tuentur. 4) οἶμαι δικαίως kr, οἴομαι δικαίως Reisk., non monito lectore; sed ordinem verborum ex Aug., οἴομαι de coni. posuisse videtur. 5) διδόναι Aug. r.

ἴστε γὰρ δήπου τοῦθ᾽ [1]), ὅτι ἂν [2]) μέν τι τῶν δεόντων ἀπαγγελθῇ [3]) τῇ πόλει καὶ τοιοῦτον οἷον εὐφρᾶναι [4]) πάντας, οὐδαμοῦ πώποτε Μειδίας τῶν συνηδομένων οὐδὲ [5])
203 τῶν συγχαιρόντων ἐξητάσθη τῷ δήμῳ· ἂν [6]) δέ τι φλαῦ- b.
ρον, ὃ μηδεὶς ἂν βούλοιτο τῶν ἄλλων [7]), πρῶτος [8]) ἀνέ-
522 Bk. στηκεν [9]) εὐθέως καὶ δημηγορεῖ, ἐπεμβαίνων τῷ καιρῷ καὶ τῆς σιωπῆς ἀπολαύων, ἣν ἐπὶ τῷ περὶ τῶν συμβεβηκότων ἄχθεσθαι ποιεῖσθε ὑμεῖς· „τοιοῦτοι γάρ ἐστε ὦ c.
ἄνδρες Ἀθηναῖοι· οὐδὲ [10]) γὰρ ἐξέρχεσθε, οὐδ᾽ οἴεσθε δεῖν

---

Ἐὰν μέν τι τῶν δεόντων ἀπαγγελθῇ.] Τὸ τυραννικὸν τῆς γνώμης αὐτοῦ πάλιν διαβάλλει· τὸ γὰρ μὴ συνήδεσθαι τοῖς ἀγαθοῖς τοῦ δήμου φθονοῦντός ἐστιν ἐπὶ ταῖς εὐπραγίαις, τὸ δὲ ἥδεσθαι κακοπραγούντων τοῦτο ἴδιον τυράννου. τὸ δὲ αὐτὸ καὶ περὶ Αἰσχίνου κατηγορεῖ, ἀλλ᾽ ἐκείνου μὲν οὐχ ὡς αὐτοῦ βουλομένου κατασχεῖν τὴν ἀκρόπολιν, ἀλλὰ Φιλίππῳ περιποιῆσαι τὰ πράγματα· ταπεινότερον γὰρ τὸ πρόσωπον ἦν τοῦ [1]) ἐγκλήματος· Μειδίαν δὲ ὡς αὐτὸν μέλλοντα τυραννεῖν διαβάλλει.

Καὶ τῆς σιωπῆς ἀπολαύων.] Πάθος λέγει τῆς ἀνθρωπίνης φύσεως κοινόν. πάντες γὰρ οἱ τοῖς κακοῖς πιεζόμενοι συστέλλονται πρὸς ἡσυχίαν καὶ σιωπᾶν ἀναγκάζονται, διὸ καὶ ὑμεῖς φέρετε κακιζόμενοι.

Τοιοῦτοι γάρ ἐστε.] Τόπος ἐστὶ τῆς ἐπαχθοῦς καὶ ὑβριστικῆς ἀποκρίσεως [2]).

Οὐδ᾽ οἴεσθε δεῖν χρήματα.] Ἅπερ ἦν συνήθη πᾶσι τοῖς πλουσίοις λέγειν πρὸς τὸν δῆμον, ταῦτα μόνου

1) τοῦ] Malis τοῦ τοιούτου. 2) ὑποκρίσεως mg. Lut.

---

1) τουτοθ᾽ k. 2) ἐὰν ΠΩs mg. Lut. 3) ἀγγελθῇ kr Aug. 4) εὐφράναι Felic. Herv. 2da. 5) συνηδομένων ἢ τῶν συνευφραινομένων ἐξήτ. kr Aug. 6) ἐὰν δέ τι λυπηρὸν ἢ φλαῦρον οὗ μηδείς γ᾽ ἂν kr Aug. Barocc, (nisi quod ex hoc ὃ pro οὗ enotavit Tayl.). In Ven. λυπηρὸν pro varia scriptura. 7) βούλοιτο, τῶν ἄλλων πρῶτος distinguitur vulg. ante Reisk. 8) πρῶτον v. 9) ἀνέστησεν Ft. 10) Ita Be. et vulg. ante Reisk., οὐ γὰρ ἐξέρχεσθε· οὐ γὰρ οἴεσθε Bav. Aug. Fkrtv Reisk. Bu.

χρήματα εἰςφέρειν. εἶτα θαυμάζετ', εἰ κακῶς τὰ πράγμαθ' ὑμῖν 1) ἔχει 2); ἐμὲ 3) οἴεσθ' ὑμῖν εἰςοίσειν 4), ὑμεῖς δὲ νεμεῖσθαι 5); ἐμὲ οἴεσθε τριηραρχήσειν 6), ὑμεῖς δ' οὐκ
204 ἐμβήσεσθαι 7);" τοιαῦθ' 8), ὑβρίζων καὶ "τὴν ἀπὸ τῆς ψυ- 580
χῆς πικρίαν καὶ κακόνοιαν, ἣν κατὰ τῶν πολλῶν ὑμῶν R. d.
ἔχων 9) ἀφανῆ παρ' ἑαυτῷ περιέρχεται, φανερὰν ἐπὶ τοῦ καιροῦ καθιστάς. δεῖ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι καὶ ὑμᾶς οὕτω νῦν, ὅταν 10) ἐξαπατῶν καὶ φενακίζων ὀδύρηται καὶ κλαίῃ καὶ δέηται, τοῦθ' 11) ὑποβάλλειν αὐτῷ· „τοιοῦτος ο.

---

κατηγορεῖ τοῦ Μειδίου. εἰ γὰρ ἦσαν πταίσαντες κατὰ πόλεμον, τότε οἱ πλούσιοι ἐνεκάλουν τοῖς δημόταις, ὅτι ἡμεῖς μὲν τὰ καθ' ἑαυτοὺς πεποιήκαμεν, ἐτριηραρχήσαμεν, χρήματα εἰςενέγκαμεν, ἡμεῖς 1) δηλονότι, οἱ 2) μὴ θελήσαντες.

Φανερὰν ἐπὶ 3) καιροῦ καθιστᾶν 4).] Ὥςτε κρύπτειν 5) μὲν ἐν τοῖς καλοῖς καιροῖς τὴν δυςμένειαν, ἰδὼν δὲ πταίσασαν τὴν πόλιν εἰς μέσον ἄγει τὴν τέως λανθάνουσαν.

Τοιοῦτος γάρ εἶ Μειδία, ὑβριστὴς γάρ εἶ.] Ὥςπερ ἐπὶ τοῦ Μειδίου χρησάμενος ἠθοποιΐᾳ ἑαυτὸν 6) δι' αὐτοῦ πεποίηκεν ἐπεμβαίνοντα τοῖς Ἀθηναίοις,

1) ὑμεῖς W. 2) οἱ] αἱ πολεμεῖν Lut. 3) ἐπὶ] ἐπὶ τοῦ Lut. 4) καθιστὰς W. Lut. 5) κρύπτει Lut. 6) αὐτὸν δὴ (operarum hic error est pro δι') ἑαυτοῦ W., placet.

---

1) Ita Be., ὑμῖν τὰ πράγματ' Fv et vulg. ante Be., ὑμῖν τὰ χρήματ' t. 2) ἔχειν Ald. Herv. 1ma. 3) ἐμὲ δὲ οἴεσθ' FΣkr Aug. Reisk. 4) οἰσοίσειν Ald. Herv. 1ma 2da Felic. Paul. Wolf. 5) νεμεῖσθε — ἐμβήσεσθε libri Bekkeri omnes, νεμεῖσθαι — ἐμβήσεσθαι ex Felic. Herv. 2da Paul. et coni. Markl. ediderunt Reisk. Bu. Be., idem probaverunt Lamb. et Schaef. 6) τριηραρχεῖν k Aug. 7) ἐμβήσετε Aug. 8) Distinctionem posui post τοιαῦθ', secutus Schaeferum, ne pronomen iungatur sequenti participio. 9) ἔχει Ven. Ald. Herv. 1ma, probat Tayl. 10) Ita Be. ex Aug. et suorum optimis, ὅταν οὗτος ἐξαπ. Ftv et vulg. ante Be. 11) τοῦθ' ΠΣΥ Blum., τοιαῦθ' kr Aug. Reisk. Bu., ταῦθ' Be. et vulg. ante Reisk., ταὐτὰ coni. Spald.

γὰρ εἶ Μειδία· ὑβριστὴς[1] γὰρ εἶ· οὐκ[2] ἐθέλεις ἔχειν παρὰ σαυτῷ τὼ χεῖρε· εἶτα θαυμάζεις εἰ κακὸς[3] κακῶς ἀπολεῖ[4]; ἀλλὰ[5] νομίζεις ἡμᾶς μὲν[6] ἀνέξεσθαί σου[7], αὐτὸς δὲ τυπτήσειν; καὶ ἡμᾶς[8] μὲν[9] ἀποψηφιεῖσθαί σου, σὺ[10] δὲ οὐ[11] παύσεσθαι;

205 Καὶ βοηθοῦσιν[12] οἱ λέγοντες ὑπὲρ αὐτοῦ οὐχ οὕτω 56 Bu.

---

οὕτω πάλιν καὶ τῶν[1] δικαστῶν ὁμοίᾳ[2] πλάσει ἐχρήσατο, ἵνα ποιήσῃ ταῦτα τοὺς δικαστὰς λέγοντας πρὸς τὸν Μειδίαν, ἅπερ αὐτὸς βούλεται. μιμησώμεθα, φησί, κατὰ Μειδίου Μειδίαν, καὶ τοῖς αὐτοῦ λόγοις πρὸς τὸν πατέρα[3] τῶν λόγων χρησώμεθα, τὸν αὐτὸν ἀποδιδόντες[4] αὐτῷ προςήνεγκεν.

Καὶ βοηθήσουσιν οἱ λέγοντες ὑπὲρ αὐτοῦ.] Ἔστι[5] μὲν τὸ κεφάλαιον εἰσηγμένον κατὰ ἀπόστασιν[6], ἔξεστι δὲ τὰ τοιαῦτα ἐν ἐπιλόγοις, διὰ τὸ εἶναι κομματικὰ καὶ ἀσύνδετα· ὅμως δὲ ὁ ῥήτωρ διὰ τοῦ συνδέσμου συνῆψεν αὐτὰ ταῖς φθάνουσιν· εἰ γὰρ καὶ τοῖς νοήμασιν ἀπέσχισται, τὰ γοῦν τῆς ἀκολουθίας σώζεται. βού-

1) καὶ ἐπὶ τῶν W. 2) ὁμοίᾳ] τῇ ὁμ. Lut. 3) Platonica formula πατὴρ τοῦ λόγου. (Cf. Heindorf. ad. Platon. Phaedr. §. 84. Symp. p. 177, d. Krabing. ad Synes. π. β. p. 121 sq. Athen. 1, pr.) 4) ἀποδιδόντες ἔρανον αὐτῷ, ὃν προςήνεγκεν W. de coni., ἀποδ. αὐτῷ, ὅνπερ πρὸς τοὺς ἄλλους προςήν Lut., placet; τὸν αὐτὸν sc. λόγον. 5) Ita W. et Lut., ἔτι vulg. 6) „Sequitur εἰ καὶ τοῖς νοήμασιν ἀπέσχισται. Ut videatur ἡ ἀπόστασις idem esse, quod διάστημα, χωρισμός, ἀφορισμός“. W.

---

1) ὑβρισθεὶς Lut. 2) Ita Be., εἶ καὶ οὐκ Fkrtv et vulg. ante Be. 3) κακῶς s, om. Y. 4) Ita Σv Bu. Be., ἀπολεῖ F Bav., ἀπολῇ vulg. ante Bu. 5) ἀλλὰ — παύσεσθαι Bekk. Anecd. 122, 27. 6) μὲν om. Anecd. 7) σου om. Fkr Bavt Aug. Bu., „quod ἀνέξ. multo facetius referatur ad τυπτ.“ „additum iuvat concinnitatem membrorum“. Schaef. 8) ὑμᾶς Ald. Herv. 1ma 2da Felic. Lut. 9) μὲν om. Felic. Paul. Herv. 1ma 2da Wolf. 10) Ita Aug. Barocc. Ital. Anecd. l. c. Reisk. Sp. Bu. Be., idem iam Markl. et Tayl. probaverant, σὲ FΠΣYst Blum. et vulg. ante Reisk. 11) οὐ] οὐδὲ Aug. krSp., οὐδὲ οὕτω παύσ. Reisk. de coni. 12) βοηθοῦσιν Σ Be., probat Schaef., βοηθήσουσιν vulg.

τούτῳ χαρίσασθαι [1]) μὰ τοὺς θεοὺς βουλόμενοι ὡς ἐπηρεάζειν ἐμοὶ διὰ τὴν ἰδίαν ἔχθραν, ἣν οὗτος [2]) αὐτῷ [3]) πρὸς ἐμὲ, ἄν [4]) τ' [5]) ἐγὼ φῶ ἄν τε μὴ φῶ, φησὶν εἶναι καὶ

λεται δὲ ἐν τούτῳ περικόψαι τοὺς συνηγόρους τοῦ Μειδίου, κἀκεῖ δὲ πρῶτόν γε πρὸς τὸν Εὔβουλον ἀποτείνεται. προέταξε [1]) δὲ τοῦτον τῶν ἄλλων κατηγόρων [2]) διὰ δύο προφάσεις, ὅτι τε πολὺ προέχει τῶν ἄλλων εἷς ὤν, καὶ [3]) μᾶλλον ἐδεδοίκει τοῦτον ἢ σύμπαντας τοὺς ἄλλους, καὶ ὅτι πράγματα εἶχεν ἰδίᾳ διαλεχθῆναι χωρίσαντα [4]) τῶν ἄλλων περιουσιῶν τὸν λόγον.

Οὐχ οὕτω τούτῳ χαρίσασθαι.] Ἀντιπίπτον ἔλυσε, πῶς ἀρτίως ἔλεγε [5]) μηδένα εἶναι φίλον τῷ Μειδίᾳ, καὶ νῦν τοὺς ἐνδοξοτάτους αὐτῷ φάσκει συνηγόρους; „ὅτι [6]) τούτῳ χαρίζεσθαι βούλονται,“ καὶ τὸν ὅρκον προσέθηκεν, ἐπεὶ ἀπίθανον δοκεῖ τὸν συνηγοροῦντα μὴ εἶναι φίλον τοῦ συνηγορουμένου, ἀλλ' ἐπηρεάζειν ἐμοί.

Ἄν τε ἐγὼ φῶ ἄν τε μὴ φῶ.] Καλῶς κατὰ ἐνδοιασμὸν προσήγαγεν, ἵνα δείξῃ τὸν Εὔβουλον ὄντα τῆς ἔχθρας αἴτιον· εἰ γὰρ οὐχ ὁμολογεῖ ὁ Δημοσθένης ἔχθραν [7]), πρόδηλον, ὅτι Εὔβουλός ἐστιν ὁ τῆς ἔχθρας καταρχόμενος.

Καὶ βιάζεται [8]) οὐκ ὀρθῶς.] Ἀντιπίπτον ὑπετέμετο, εἰ [9]) παθὼν παρὰ σοῦ κακῶς φυλάττει τὴν ἔχθραν; ὁ δὲ καὶ „βιάζεται“ εἶπε [10]) καὶ „οὐκ ὀρθῶς“. ἀμφότερα δὲ τοῦ κατάρχοντος καὶ ἀδικοῦντος.

1) Ita W. de coni. et Lut., προσέταξε vulg. 2) συνηγόρων W. de coni., recte. 3) καὶ ὅτι μ. W. 4) „Et hic Oedipo coniectore nobis est opus“ W. f. χωρὶς ὄντα τ. ἄ. π. τοῦ λόγου. 5) ἔλεγες — φάσκεις W. 6) ὅτι] λέγων οὐχ ὅτι Lut., f. ὅτι οὐχ οὕτω. 7) Malim τὴν ἔχθραν. 8) βιάζεται τοῦτο οὐκ Lut. 9) ὑπέτεμε, τί εἰ παθὼν Lut., placet. 10) Ita Lut., εἶπεν vulg.

1) Ita ΠΣΩs Be., γρ. χαρίσασθαι F Bav., χαρίσεσθαι Wolf., χαρίζεσθαι vulg., hoc probat Schaef., „sequi enim ἐπηρεάζειν“. 2) ἣν οὗτος] ἵν' οὕτως s. 3) αὐτῷ] αὐτῳ Σ (supra scriptum: εὔβουλος), (quorum quod supra scriptum est, explicatum continet οὗτος pronominis), αὐτῷ Ald., om. Felic. Paul. Herv. 1. 2. Wolf. 4) ἐάν — ἐάν kr. 5) τε vulg. ante Reisk.

βιάζεται [1]), οὐκ ὀρθῶς. ἀλλὰ κινδυνεύει τὸ λίαν εὐτυχεῖν ἐνίοτε ἐπαχθεῖς [2]) ποιεῖν· ὅπου γὰρ ἐγὼ μὲν οὐδὲ [3]) πε- b.
πονθὼς κακῶς ἐχθρὸν [4]) εἶναί μοι τοῦτον ὁμολογῶ, οὗτος δὲ οὐδ᾽ ἀφιέντα ἀφίησιν [5]), ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλοτρίοις

---

*Ἀλλὰ κινδυνεύει τὸ λίαν εὐτυχεῖν.*] Ἕτερον ἀντιπίπτον ἔλυσε, διὰ τί οὖν βούλεται ἐχθρός σου εἶναι μηδὲν ὑπὸ σοῦ πεπονθώς; ὅτι λίαν ἐστὶν εὐτυχής. καὶ δέδωκεν ἑτέραν ἔχθρας ἀφορμὴν τὴν εὐτυχίαν· οἱ γὰρ πλουτοῦντες βουλόμενοι τοῖς πένησιν ἐπηρεάζειν, ὑβρίζουσί τε καὶ ἐπαχθεῖς γίνονται. εἶτα καὶ ἄλλο κατώρθωσε [1]) τῷ [2]) λίαν εἰπεῖν εὐτυχεῖν· ἔδειξε γὰρ οὐ δι᾽ ἀρετὴν εὐδοκιμοῦντα τὸν Εὔβουλον ἀλλὰ διὰ τύχην.

*Ὅπου γὰρ ἐγὼ μέν.*] Τὴν φήμην λέγει τὴν περὶ [3]) τοῦ φόνου· Εὔβουλος γὰρ ἦν ὁ κατηγορῶν τοῦ Ἀριστάρχου καὶ συναιτιώμενος τὸν Δημοσθένην. ὁμοίως [4]) δὲ φανερῶς οὐκ εἶπεν, ἵνα μὴ πάλιν ὑπομιμνήσκῃ καθ᾽ ἑαυτοῦ τὴν φήμην.

*Οὐδὲ ἀφιέντα ἀνίησιν.*] Δείκνυσιν, ὅτι χάριν αὐτῷ μᾶλλον ὤφειλεν [5]) Εὔβουλος ὁμολογεῖν, ὅτι ἀφῆκεν αὐτόν, καὶ οὐκ ἀπῄτησε δίκην ἐφ᾽ οἷς ἔπαθε παρ᾽ αὐτοῦ κακῶς.

*Ἀλλὰ καὶ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγῶσι.*] Διέβαλεν ὡς φιλοπράγμονα τὸν Εὔβουλον καὶ ἐργολάβον. δυοῖν γὰρ θάτερον ἐκ τούτου συμβήσεται· ἢ γὰρ ἵνα μὴ δόξῃ τοιοῦτος εἶναι, ἀποστήσεται τοῦ συνηγορεῖν τῷ Μειδίᾳ, καὶ πληρωθήσεται ὁ σκοπὸς τῷ ῥήτορι, ἢ τολμῶν ἀναβαίνειν ὕποπτος ἔσται, προδιαβεβλημένος ὑπὸ τοῦ ῥήτορος.

1) Ita W. et Lut., κατόρθωσε vulg. 2) Ita W., τὸ vulg. 3) παρὰ Ald. 4) Malim ὅμως. 5) ὄφειλεν Lut.

---

1) Ita schol. Aug. Bu. Be., βιάζεται τοῦτο οὐκ Ftv et vulg. ante Bu., τοῦτο recte omitti iam Wolfius (Indic. var. lect.) intellexit et omissionis signo notatur in Lut., uncis circumscripsit Reisk. 2) ἐπαχθὲς Lessing. 3) οὐδὲ] οὐ tv, ὁ Vind. ΠΥΩs. 4) ἐχθρῶν Paul. 5) ἀν$^{φ}$ίησιν Σ, ἀνίησιν ΠΥΩs Lind. Ital. Vind. Obsop. Ulpian.

ἀγῶσιν ἀπαντᾷ, καὶ νῦν ἀναβήσεται, μηδὲ τῆς κοινῆς τῶν
523 Bk. νόμων ἐπικουρίας ἀξιῶν ἐμοὶ "μετεῖναι, πῶς οὐχ οὗτος
ἐπαχθής [1]) ἐστιν ἤδη καὶ μείζων [2]) ἢ καθ' ὅσον ἡμῶν ἑκά-
206 στῳ συμφέρει; ἔτι τοίνυν παρῆν ὦ [3]) ἄνδρες Ἀθηναῖοι c.
καὶ ἐκάθητο [4]) Εὔβουλος ἐν τῷ θεάτρῳ, ὅτε ὁ δῆμος κα-
τεχειροτόνησε Μειδίου, καὶ καλούμενος ὀνομαστί, καὶ [5])
ἀντιβολοῦντος τούτου καὶ λιπαροῦντος, ὡς ὑμεῖς ἴστε, οὐκ
ἀνέστη. καὶ μὴν εἰ μὲν μηδὲν ἠδικηκότος ἡγεῖτο τὴν προ- d.
βολὴν [6]) γεγενῆσθαι, τότ' [7]) ἔδει τόν γε φίλον δήπου [8])
συνειπεῖν καὶ βοηθῆσαι· "εἰ δὲ καταγνοὺς ἀδικεῖν τότε διὰ 581 R.

---

*Μηδὲ τῆς κοινῆς τῶν νόμων ἐπικουρίας.*] Οὐκοῦν τύραννός ἐστιν Εὔβουλος ὁ τὴν ἰσχὺν τῶν νόμων καταλύων.

*Καὶ μεῖζον [1]) ἢ καθόσον ἡμῶν ἑκάστῳ συμφέρει.*] Τὸ ὄνομα μόνον [2]) ἐσιώπησε τοῦ τυράννου· τὰς γὰρ πράξεις ἀνέθηκε, καὶ εἰς φόβον τοῦ μέλλοντος τὸν δῆμον κατέστησεν.

*Ἔτι τοίνυν παρῆν ὦ ἄνδρες Ἀθηναῖοι.*] Ὅτε διὰ τῶν πραγμάτων ἠνίξατο [3]) τὸν τύραννον καὶ προδιέβαλε [4]), τότε καὶ φανερῶς ἐπ' αὐτὸ τὸ ὄνομα κεχώρηκεν.

*Καὶ καλούμενος ὀνομαστί.*] Πολλὰ ὁμοῦ κατώρθωσε [5])· καὶ γὰρ ὅτι Μειδίας ἑαυτοῦ κατέγνωκε, καὶ ὅτι οὐδεμίαν πρόφασιν ἔχει [6]) Εὔβουλος τούτῳ γε μὴ βοηθῆσαι· καὶ γὰρ ἐκλήθη [7]), καὶ οὐχ ἁπλῶς ἀλλὰ μετὰ δεήσεως, καὶ παρῆν, καὶ ἐκαθέζετο, καὶ ἐθεώρει τὰ γινόμενα, καὶ ὅμως οὐκ ἀνέστη.

1) *μείζων* W. 2) Ita W., *μόνος* vulg. 3) *ἠνίξατο* Ald. Herv. 4) *προδιέβαλεν* vulg. 5) Ita W. et Lut., *κατόρθωσε* vulg. 6) *εἶχεν* Lut., recte. 7) *ἐκλήθη ὀνομαστὶ καὶ* Lut.

---

1) *ἀπεχθής* Aug. 2) *μεῖζον* ΠΣΥΩkrs Aug. 3) *ὦ* om. tv. 4) *καθῆτο* F Bav. Be. 5) Ita Lind. Vind. Ital. ΠΣΥΩs Lut. Blum., *καὶ* om. vulg. cum Aug. et reliquis libris Bekkeri. 6) *παραβολὴν* Ω. 7) Markl. mavult distingui: *γεγενῆσθαι τότ', ἔδει.* 8) *δήπου* ante *φίλον* ponit k, om. r.

ταῦτ' [1]) οὐχ ὑπήκουσε, νῦν δ' [2]), ὅτι προσκέκρουκεν ἐμοί, διὰ ταῦτα [3]) τοῦτον ἐξαιτήσεται, ὑμῖν οὐχὶ καλῶς ἔχει
207 χαρίσασθαι [4])· μὴ γὰρ ἔστω μηδεὶς ἐν δημοκρατίᾳ τηλικοῦτος, ὥστε συνειπὼν τὸν μὲν ὑβρίσθαι τὸν δὲ μὴ δοῦναι δίκην ποιῆσαι. ἀλλ' εἰ κακῶς ἐμὲ βούλει ποιεῖν Εὔβουλε, e.

---

*Νῦν δὲ ὅτι προσκέκρουκεν ἐμοί.*] Δι' ὧν ὁ ῥήτωρ διαβάλλει τὴν 1) αἰτίαν τῆς συνηγορίας, ἵνα μή τις ὑπολάβῃ, ὅτι ἀδικουμένῳ βοηθεῖ, κατασκευάζει ὑπὸ 2) τοῦ χρόνου τὴν ὑπόνοιαν. ἄλλην δὲ ἀντ' ἄλλης πρόφασιν εἴρηκεν. τοῦ γὰρ Εὐβούλου δυναμένου λέγειν, ὅτι „τότε μὲν οὐκ ἀνέστην. ἐν δήμῳ γὰρ τεθορυβημένῳ τί πλέον ἂν ἤνυσα συνηγορῶν; νῦν δὲ ἐμαυτὸν εἰς τὸ 3) δικαστήριον ἐφύλαξα“, ὁ ῥήτωρ ἄλλην πρόφασιν εἴρηκεν, ὅτι τότε μὲν οὐ συνεῖπε διὰ τὸ συνειδέναι, ὅτι Μειδίας ἀδικεῖ, νῦν δὲ 4) διὰ τὸ ἐπηρεάζειν ἐμοί.

*Μὴ γὰρ ἔστω μηδεὶς ἐν δημοκρατίᾳ.*] Καὶ ἐν τῷ κατ' Αἰσχίνου 5) σχεδὸν ταῖς 6) αὐταῖς λέξεσι περὶ Εὐβούλου εἴρηκε, „μή μοι σωζέσθω μήδ' ἀπολέσθω 7) μηδείς“.

*Τὸν δὲ μὴ δοῦναι δίκην.*] Μερισμῷ κέχρηται, βουλόμενος δεῖξαι δύναμιν μεγάλην Εὐβούλῳ προσοῦσαν. εἰ γὰρ ἱκανός ἐστι τὸν μὲν ὑβρίζειν, τὸν δὲ ποιεῖν μὴ διδόναι δίκην, μέγας τίς ἐστι καὶ ἰσχυρός. καίτοι περὶ ἑνὸς τοῦ Μειδίου ἀμφότερα εἴρηται. ἐκεῖνος γάρ ἐστι καὶ ὁ ὑβρίσας, καὶ ὁ 8) μέλλων 9) διδόναι δίκην ἐκ τῆς συνηγορίας τοῦ Εὐβούλου. ἀλλ' εἰ μὲν ἑνικῶς ἦν προαγαγών, οὐ μεγάλα ἂν ἔδειξεν ἰσχύοντα τὸν Εὔβουλον· τί γὰρ παράδοξον ἕνα τῶν πολιτῶν ἐξελεῖν; νῦν δὲ καταμερίσας τὸ ἓν εἰς πλείονα, τὴν δύναμιν ηὔξησε τοῦ Εὐβούλου.

*Ἀλλ' εἰ κακῶς ἐμὲ βούλει ποιεῖν.*] Ἔδειξεν

1) Ita W. et Lut., τῆς αἰτίας τὴν συνηγορίαν vulg. 2) ἀπὸ mg. Lut. 3) τὸν Herv. 4) sc. συνεῖπε. 5) de f. leg. 436, 7. 6) ταῖς addidi ex Lut. 7) Ita W., ἀπολείσθω Ald. Herv., ἀπολλύσθω Lut. et ita extat apud oratorem. 8) ὁ] ὁ οὐ W. de coni., ὁ μὴ mg. Lut., negatione careri non potest. 9) μέλλον Ald.

---

1) τοῦτ' Aug. kr. 2) δ' om. r. 3) τοῦτο Aug. kr. 4) ἔχει αὐτῷ χαρ. mg. Lut.

ὡς ἔγωγε μὰ τοὺς θεοὺς οὐκ οἶδα ἀνθ' ὅτου, δύνασαι [1]) μὲν καὶ πολιτεύῃ, κατὰ τοὺς νόμους δ' [2]) ἥντινα βούλει παρ' ἐμοῦ δίκην λάμβανε· ὧν δ' ἐγὼ παρὰ τοὺς νόμους

---

ἐκ τούτου, ὅτι καὶ ἡ πρόφασις τῆς ἔχθρας παρ' Εὐβούλου γέγονεν· εἰ γὰρ προῄρηται κακῶς ποιεῖν, αὐτός [1]) ἐστι καὶ ὁ κατάρξας.

*Ὡς ἔγωγε μὰ τοὺς θεούς.*] Τὴν ὑποψίαν ἀρνεῖται· καὶ γὰρ [2]) κακόνοιαν ἀπέδειξε ματαίαν κατ' αὐτοῦ [3]) γεγενῆσθαι τὴν φήμην. εἰκότως τοίνυν ἀγνοεῖν [4]) ὑπὲρ ποίας προφάσεως αὐτῷ [5]) πολεμεῖν ἔγνωκεν Εὔβουλος.

*Δύνασαι μὲν καὶ πολιτεύῃ.*] Τὸ μὲν δύνασαι τυραννικόν· δεδιὼς τὸ [6]) ἐγκαλέσαι τυραννίδα προςέθηκε, „καὶ πολιτεύῃ", ὥςτε δυναστείαν εἶναι τὴν σὴν πολιτείαν.

*Κατὰ τοὺς νόμους δ' [7]) ἥντινα βούλει.*] Παραγραφικῷ [8]) ἐπιχειρήματι κέχρηται. οὐ δεῖ δὲ θαυμάζειν, εἰ ἐν ἐπιλόγοις παραγραφικῶς πέπτωκεν. οὐ γὰρ αὐτοῦ [9]) τοῦ ζητουμένου πράγματός ἐστι τὸ παραγραφικόν [10]), οἷον τῆς ὕβρεως, τῶν πληγῶν, τοῦ δημοσίου ἀδικήματος, ἀλλὰ τῶν ἔξωθεν παραλυπούντων [11]) τὴν ὑπόθεσιν. ἐπειδὴ γὰρ βαρὺς Εὔβουλος συνηγορῶν τῷ Μειδίᾳ, χρῆται παραγραφικῷ πρὸς αὐτόν, ὅτι „εἰ νομίζεις ἀδικεῖσθαί τι παρ' ἐμοῦ, γράφου καὶ κατηγόρει, μὴ μέντοι τοὺς ἤδη κατηγορηθέντας ἐξαιροῦ".

*Ὧν δ' ἐγὼ παρὰ [12]) τοὺς νόμους ὑβρίσθην.*] Φθόνον αὐτῷ κεκίνηκεν, εἴπερ ἔστιν ἐπ' ἐκείνῳ καὶ τοὺς ἤδη κρινομένους ἐκσώζειν· ὁμοῦ δὲ καὶ τοὺς [13]) δικαστὰς φιλονείκους πεποίηκε πρὸς τὸν Εὔβουλον. εἰ γὰρ ἐκεῖνος ταύτην εἶχε τὴν ὑπόνοιαν, ὥςτε δύνασθαι τῆς τιμωρίας

1) Erat, qui coniiceret: ποιεῖν αὐτός, αὐτός ἐστι. sed vulgata sana est. 2) γὰρ] γὰρ διὰ W. de coni. f. γὰρ παρά. 3) Malim καθ' αὐτοῦ. 4) ἀγνοεῖ Ald. 5) Ita Lut., αὐτῷ vulg. 6) τὸ] δὲ Lut., placet. 7) δὲ Lut. 8) Ita W. de coni., περιγραφικῶς Ald. Herv., παραγραφικῶς Lut. 9) αὐτοῦ] Ita Lut., αὐτοῦ τούτῳ Ald., τοῦτο Herv. W. 10) Ita W. et Lut., περιγρ. Ald. Herv. 11) Ita W. et Lut., παραλιπούντων Ald. Herv. 12) περὶ Ald. Herv. 13) τοὺς om. Herv. c.

---

1) δύναται s. 2) Ita Be., δὲ vulg.

ὑβρίσθην, μή μ' 1) ἀφαιροῦ τὴν τιμωρίαν. εἰ δ' ἀπορεῖς f.
ἐκείνως 2) με κακῶς ποιῆσαι, εἴη ἂν καὶ τοῦτο σημεῖον τῆς ἐμῆς ἐπιεικείας, εἰ τοὺς ἄλλους ῥᾳδίως κρίνων ἐμὲ μηδὲν ἔχεις 3) ἐφ' ὅτῳ τοῦτο ποιήσεις.

208 Πέπυσμαι 4) τοίνυν καὶ Φιλιππίδην καὶ Μνησαρχίδην 57 Bu.
καὶ Διότιμον 5) τὸν 6) Εὐωνυμέα καὶ τοιούτους τινὰς πλουσίους καὶ τριηράρχους ἐξαιτήσεσθαι 7) καὶ 8) λιπαρήσειν παρ' ὑμῶν 9) αὐτόν, αὐτοῖς 10) ἀξιοῦντας δοθῆναι

---

ἐξαιρεῖσθαι τοὺς κρινομένους, πρόδηλον, ὅτι φιλονεικήσουσι καὶ καταγνώσονται τοῦ Μειδίου, ὥστε δεῖξαι παρ' αὐτοῖς οὖσαν τὴν δύναμιν τοῦ καὶ ἀφιέναι καὶ κολάζειν, οὐχὶ παρ' Εὐβούλῳ 1).

Πέπεισμαι 2) τοίνυν καὶ Φιλιππίδου 3).] Πληρώσας τὸ μέρος τὸ κατὰ τὸν Εὔβουλον, ὅπερ ἦν ὡς κατὰ 4) ὑπεροχήν, ἐπὶ τοὺς ἄλλους συνηγόρους κεχώρηκεν, οἵ τινες καὶ ἥττονος ἀξιώματος μετέχουσι, καὶ οὐχ ὁμοίως ἠθικὸν ἀπαιτοῦσι τὸν λόγον. (Μετὰ τοὺς ἱππέας ἐξήτασε τοὺς περὶ Τιμοκράτους 5), τῇ διαβολῇ τῆς ποιότητος αὐτὴν τὴν μέλλουσαν παρ' αὐτῷ 6) γίγνεσθαι μαρτυρίαν σαθρὰν ἀπεργαζόμενος. B.)

Ἀξιοῦντας δοθῆναι τὴν χάριν.] Δριμέως πάνυ, οἷον, μὴ γὰρ οὐκ 7) ἄξιος θανάτου Μειδίας, μὴ γὰρ οὐκ 8) ἴσμεν ὡς εἰκότως ἀναρπάζοιτ' ἄν, ἀλλ' ἡμῖν δότε τὴν 9) χάριν, ἡμῖν αὐτοῦ τὴν σωτηρίαν δωρήσασθε.

1) Ita W. et Lut., εὔβουλον vulg. 2) πέπυσμαι W. et Lut. 3) φιλιππίδην W. et Lut. 4) κατ' Bav. 5) f. Τιμοκράτην. cf. supra §. 139 ibique schol. 6) f. αὐτῶν. 7) οὐκ] ὡς οὐκ W., interrogandi signa post Μειδίας et post ἀναρπάζοιτ' ἂν ponuntur in Lut. 8) οὐκ] ὡς οὐκ W. 9) τὴν] ταύτην τὴν Lut.

---

1) με vulg. ante Reisk. 2) ἐκεῖνο pr. k. 3) ἔχῃς coni. Reisk. 4) πέπεισμαι ΠΣΥΩkrs Aug. schol. 5) δότιμον Aug. r. 6) τὸν om. Herv. 2da. 7) ἐξαιτήσασθαι k, λιπαρήσειν καὶ ἐξαιτήσεσθαι coni. W. 8) καὶ] τοῦτον καὶ (omisso αὐτὸν post ὑμῶν) kr Aug. (et, ni fallor, etiam Barocc.), receperunt Reisk. Bu. 9) ὑμῖν Taylorus in libris nonnullis praestantioribus invenisse se profitetur, sed arbitror eum falsum esse. 10) αὐτοῖς Ald. Herv. 1. 2., ὑμῶν, αὐτὸν αὐτοῖς Lamb.

τὴν χάριν ταύτην. περὶ ὧν οὐδὲν ἂν εἴποιμι πρὸς ὑμᾶς
φλαῦρον ἐγώ· καὶ γὰρ ἂν μαινοίμην. ἀλλ᾽ ἃ θεωρεῖν ὑμᾶς,
209 ὅταν οὗτοι δέωνται, δεῖ καὶ λογίζεσθαι, ταῦτ᾽ ἐρῶ. ἐνθυ- b.
μεῖσθε 1) ὦ ἄνδρες δικασταί 2), εἰ γένοιντο 3), ὃ μὴ γέ-
νοιτο οὐδ᾽ ἔσται 4), οὗτοι κύριοι τῆς πολιτείας μετὰ Μει-
δίου καὶ τῶν ὁμοίων τούτῳ, καί τις ὑμῶν τῶν πολλῶν καὶ
524 δημοτικῶν ἀνθρώπων 5) ἁμαρτὼν εἴς "τινα τούτων μὴ
Bk. τοιαῦθ᾽, οἷα Μειδίας εἰς 6) ἐμέ, ἀλλ᾽ ὁτιοῦν ἄλλο, εἰς δι-
καστήριον εἰσίοι πεπληρωμένον ἐκ τούτων 7), τίνος συγ-
γνώμης ἢ τίνος ἐλέου 8) τυχεῖν ἂν 9) οἴεσθε; ταχύ 10) γ᾽
ἂν χαρίσαιντο· οὐ 11) γάρ; ἢ 12) δεηθέντι τῳ 13) τῶν
πολλῶν προσχοῖεν 14), ἀλλ᾽ οὐκ 15) "ἂν 16) εὐθέως εἴ- 582
ποιεν „τὸν δὲ 17) βάσκανον, τὸν δὲ ὄλεθρον, τοῦτον R. c.
δὲ 18) ὑβρίζειν, ἀναπνεῖν 19) δέ 20), ὃν εἴ τις ἐᾷ ζῆν,

---

1) ἐνθυμεῖσθ᾽ Be., ἐνθυμεῖσθε δ᾽ ὦ r. 2) δικασταί] ἀθηναῖοι corr. Σ, om. kr. 3) γένοιτο Herv. 2. 4) ἔσται] ἔσται ποτέ Ven. Barocc. Aug. krs, ἔσται νῦν Ftv et vulg. ante Be., ὃ μὴ γένοιτο οὐδέποτε Ital. 5) ἀνθρώπων om. F Bav., deletum mavult Schaef. 6) εἰς om. r. 7) τίνων r. 8) ἐλαίου Ω, λόγου Σ. 9) οἴεσθε ἂν r, ἂν om. Σ. 10) τάχα coni. Wolf. Iurin. 11) Ita Bav. Par. 2. 5. Aug. Reisk. Bu. Be., qui cum nihil discrepantiae enotaverit, οὐ γὰρ in omnibus suis libris repperisse videtur; οὐδὲ γὰρ δεηθέντι vulg. ante Reisk., οὔ. οὐδὲ γὰρ δεηθ. coni. Markl. 12) ἢ] Ita Aug. Reisk. Bu. Be., δὴ F Bav. Par. 2. 5., οὐ in litura Σ, om. ΠΥΩ et vulg. ante Reisk., οὐδὲ γὰρ δεηθέντι coni. Seager. 13) τῳ om. Bav. 14) Ita Σ Dind. nec displicet Schaefero, πρόσχοιεν FΩrt et vulg. ante Reisk., προσέχοιεν Reisk. Bu. Aug. Par. 1. et, quantum ex tacente Bekkero colligi licet, plurimi eius librorum; προσσχοῖεν Be. (de coni., ni fallor). 15) οὐκ abundare, aut haec interrogative legenda videntur Wolfio. 16) ἂν εὐθέως εἴποιεν om. Fkrs Aug. Bav. Par. 2. et pr. tv., cum his facit Sp. 17) Ita Herv. 2da Reisk. Bu. Be., τόνδε — τὸν δὲ Herv. 1. Wolf. Felic. Lut., τόνδε — τόνδε r et complures, τόνδε τὸν βάσκανον, τόνδε τὸν ὄλ. coni. W. 18) δὲ om. tv, δὴ coni. Iurin. Tayl. 19) μέγα πνεῖν coni. W. 20) δὲ ὃν] δέον FΣ.

210 ἀγαπᾷν ἔδει 1)“· μὴ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι 2) τούτοις τοῖς οὕτω χρησαμένοις ἂν ὑμῖν ἄλλως πως ἔχετε ὑμεῖς 3), μηδὲ 4) τὸν πλοῦτον μηδὲ τὴν δόξαν τὴν 5) τούτων θαυμάζετε, ἀλλ' ὑμᾶς αὐτούς. πολλὰ τούτοις ἀγαθὰ ἔστιν 6), ἃ τούτους 7) οὐδεὶς κωλύει κεκτῆσθαι· μὴ τοίνυν μηδ' οὗτοι τὴν ἄδειαν, ἣν ἡμῖν κοινὴν 8) οὐσίαν 9) οἱ νό-
211 μοι παρέχουσι, κωλυόντων κεκτῆσθαι. οὐδὲν 10) δεινὸν 58
οὐδ' ἐλεεινὸν 11) Μειδίας πείσεται 12), ἂν ἴσα 13) κτήσηται Bu.
τοῖς πολλοῖς ὑμῶν 14), οὓς νῦν ὑβρίζει 15) καὶ πτωχοὺς ἀποκαλεῖ, ἃ δὲ νῦν περιόντ' 16) αὐτὸν ὑβρίζειν ἐπαίρει, περιαιρεθῇ. οὐδ' οὗτοι δήπου ταῦθ' ὑμῶν εἰσι δίκαιοι b.
δεῖσθαι, „μὴ κατὰ τοὺς νόμους δικάσητε ὦ 17) ἄνδρες δικασταί 18), μὴ 19) βοηθήσητε 20) τῷ πεπονθότι δεινά· μὴ 21) εὐορκεῖτε 22)· ἡμῖν δότε τὴν χάριν ταύτην“. ταῦτα γάρ, ἄν τι 23) δέωνται περὶ τούτου 24), δεήσονται 25),

1) δεῖ ΠΩ, probat Schaef., sed cf. Matth. §. 505. not. 2) ἀθηναῖοι om. s. 3) ὑμεῖς ἔχετε krs. 4) μηδὲ τὸν πλοῦτον om. Herv. 1ma Wolf. 5) τὴν om. ΠΥΩ, τὴν τούτων om. k. 6) ἀγαθά ἐστιν vulg., ἐστι Felic. Herv. 2da. 7) τούτοις krs Aug. 8) Ita Bav. Be., ὑμῖν κοινὴν tv et vulg. ante Reisk., κοινὴν ὑμῖν krs, κοιν. ἡμῖν Aug. Reisk. Bu. 9) οὖσαν γρ. Σ. 10) οὐδὲν — ὑμῶν Aristid. τ. ᾧ. 180 (T. 2, p. 720 Dind.). 11) ἐλεινὸν Aristid. 12) πείσεται μειδίας krs. 13) Ita Aristid. Bav. Aug. Par. 2. Bu. Be., ἴσα μὲν κτ. vulg. ante Bu. et rç. k. 14) ἡμῶν ΠΥΩ, ὑμῖν Reisk. ex Aristide excitavit, sed ὑμῶν in ed. Dind. extat. 15) ὑβρίζει — νῦν om. r. 16) περιόντ' Σ, idem coni. Sp. et Seager., in ordinem recepit Bu. 17) ὦ om. ΠΩ. 18) δικασταὶ om. s. 19) μηδὲ Blum. invitis libris omnibus. 20) βοηθήσητε] κριθήσεται s, sed in mg. Lut. ex α, qui Bekkero s dicitur, κριθήσετε enotatum. 21) Ita Aug. Reisk. Bu. Be., μηδ' FΠΣΥΩt et vulg. ante Reisk. 22) εὐορκῆτε Bav. t. 23) τι] οὗτοι mavult Reisk., coniectura placet Spaldingo, repugnant Bu. et Schaef. 24) Ante Reisk. distinguebatur: δέωνται, περὶ τούτου δεήσονται. 25) δεηθήσονται Ω.

212 κἂν μὴ ταὐτὰ [1]) λέγωσι τὰ ῥήματα. ἀλλ' εἴπερ εἰσὶ φίλοι c.
καὶ δεινὸν εἰ μὴ πλουτήσει [2]) Μειδίας ἡγοῦνται, εἰσὶ μὲν
εἰς [3]) τὰ μάλιστα αὐτοὶ [4]) πλούσιοι, καὶ καλῶς ποιοῦσι·
χρήματα δ' αὐτῷ παρ' ἑαυτῶν δόντων [5]), ἵν' ὑμεῖς μὲν ἐφ'
525 οἷς εἰςήλθετε [6]) ὀμωμοκότες δικαίως ψηφίσησθε, οὗτοι
Bk. δὲ παρ' αὑτῶν [7]) τὰς χάριτας μὴ μετὰ τῆς ὑμετέρας [8])
αἰσχύνης ποιῶνται. εἰ δ' οὗτοι χρήματα [9]) ἔχοντες μὴ
πρόοιντ' [10]) ἄν, πῶς ὑμῖν καλὸν τὸν ὅρκον προέσθαι;
213 Πλούσιοι [11]) πολλοὶ συνεστηκότες ὦ ἄνδρες Ἀθηναῖοι, d.
τὸ δοκεῖν τινες [12]) εἶναι δι' εὐπορίαν προςειληφότες, ὑμῶν
παρίασι [13]) δεησόμενοι. τούτων μηδενί με [14]) ὦ ἄνδρες
Ἀθηναῖοι πρόησθε [15]), ἀλλ' ὥςπερ ἕκαστος [16]) τούτων [17])

---

*Χρήματα δ' αὐτῷ.*] Τί δυςχεραίνετε πρὸς τὴν ψῆφον, ἣν οἱ νόμοι κομίζουσιν; λυπεῖται [1]) Μειδίας τῆς οὐσίας αὐτοῦ στερούμενος; ποίησον αὐτὸν καὶ μετὰ τὴν δήμευσιν πλούσιον, μετάδος αὐτῷ τῶν χρημάτων τῶν σῶν, ἵνα καὶ νόμιμος ὁ δικαστὴς φανῇ, καὶ σὺ φίλος εὐνούστατος.

*Τὸ δοκεῖν τινες εἶναι δι' εὐπορίαν.*] Ἀρετὴν μὲν παρ' αὐτοῖς ἤ τι τῶν καλῶν οὐχ εὕροι τις [2]), τῷ πλούτῳ δὲ καρποῦνται τὴν δόκησιν.

1) Malim λυπεῖ. 2) f. τις ἄν.

---

1) ταὐτὰ t Herv. 1. 2. Felic. Wolf. Lut., ταῦτα Reisk. Bu. Be. 2) Ita Bav. Ital. Ven. Barocc. Vind. Bu. Be., πλουτήσῃ[ει] F, πλουτήσῃ vulg. ante Bu., πλουτήσῃ (?) tv. 3) εἰσὶ Aug. Barocc. ks et γρ. Σ. 4) αὐτῷ Bav. hinc μάλιστα ὁμοίως αὐτῷ coni. Reisk. 5) διδόντων s. 6) Ita Aug. Par. 1. Bu. Be., εἰςεληλύθατε Ftv et vulg. ante Bu., συνεληλύθατε Par. 5. 7) αὐτῶν vulg. ante Bu. 8) ἡμετέρας tv. 9) χρήματ' Be. 10) προεῖντ' corr. v. 11) πλούσιοι — προςειληφότες omissis verbis ὦ ἄ. Ἀ. Aristid. τ. ῥ. 180 T. 2 p. 720 Dind. 12) τινὲς Be. 13) πάρεισι coni. Seager. 14) μὲν r. 15) προῆσθε Be. Di. 16) ἕκαστοι pr. Σ. 17) τοῦτον Aug.

"ὑπὲρ τῶν ἰδίᾳ [1]) συμφερόντων καὶ ὑπὲρ τούτου σπουδά- 583
σεται [2]), οὕτως ὑμεῖς ὑπὲρ ὑμῶν αὐτῶν [3]) καὶ τῶν νόμων R.
καὶ ἐμοῦ τοῦ ἐφ' ὑμᾶς καταπεφευγότος σπουδάσατε, καὶ
214 τηρήσατε τὴν γνώμην ταύτην, ἐφ' ἧς [4]) νῦν ἐστέ. καὶ [5]) 59
γὰρ εἰ μὲν ὦ ἄνδρες Ἀθηναῖοι τόθ', ὅτ' ἦν ἡ προβολή [6]), Bu.
τὰ πεπραγμένα ὁ δῆμος ἀκούσας ἀπεχειροτόνησε Μει-
δίου [7]), οὐκ ἂν ὁμοίως ἦν δεινόν· καὶ γὰρ μὴ γεγενῆ-
σθαι [8]), καὶ μὴ περὶ τὴν ἑορτὴν ἀδικήματα ταῦτ' εἶναι,
καὶ πολλὰ ἂν εἶχέ τις αὐτὸν [9]) παραμυθήσασθαι. νῦν δὲ b.
215 τοῦτο καὶ πάντων ἂν μοι δεινότατον συμβαίη, εἰ παρ' αὐτὰ
[μὲν [10])] τἀδικήματα οὕτως ὀργίλως καὶ πικρῶς καὶ χα-
λεπῶς ἅπαντες ἔχοντες [11]) ἐφαίνεσθε [12]), ὥστε Νεοπτο-
λέμου καὶ Μνησαρχίδου καὶ Φιλιππίδου καί τινων [13]) τῶν

---

(Ἡ προβολή.] Προβολὴ πρόκλησις [1]) ἡ εἰς τὸ δικαστήριον. B.)

(Ἀπεχειροτόνησε.] Ἀπεψηφίσατο. B.)

Οὐκ ἂν ὁμοίως ἦν δεινόν.] Ἀναμιμνήσκει τούτων, ἵνα [2]) μείνωσιν ἐπὶ τῆς αὐτῆς γνώμης. ἄρπτον [3]) γὰρ ἐξ ἀρχῆς μὲν χαλεπαίνει [4]), νυνὶ δὲ τοσούτων ἀποδειχθέντων ὀλιγωρεῖν.

1) f. πρόςκλησις. 2) Ante ἵνα asteriscus additus est in Herv. W. 3) ἄτοπον W. de coni. et Lut., placet. 4) χαλεπαίνειν W. et Lut., et hoc perplacet.

---

1) Ita Aug. Vind. Obsop. mg. Bav. Paul. Herv. 2da Bu. Be., ἰδίων[α] F, ἰδίᾳ Felic., ἰδίων ktv et vulg. ante Bu. 2) σπουδάσατε Herv. 2da, σπουδάσει mg. Lut., σπουδάσει, οὕτω καὶ ὑμεῖς coni. Reisk., σπουδάσει probat Spald. invitis Bu. et Schaef. 3) αὐτῶν om. pr. Y. 4) ἧς] οἷς r. 5) καὶ γὰρ — δεινὸν Bekk. Anecd. 122, extr. 6) βουλὴ v. 7) Μειδίαν Anecd. l. c. 8) Post γεγενῆσθαι Reisk. coni. ὕβριν aut ὕβρει deesse; illud probat Sp. 9) αὑτὸν vulg. ante Reisk. 10) μὲν om. Aug. ΠΣΥΩrs. 11) ἔχοντες πάντες rsk. 12) φαίνεσθε Σ. 13) τινων[ος] F, τινος ΠΣΥΩt, τῶν ἄλλων Barocc. Aug. Vind. rs, „quod corruptum puto ex τινῶν ἄλλων". Bu.

σφόδρα τούτων πλουσίων [1]) δεομένων [2]) καὶ ἐμοῦ καὶ
ὑμῶν ἐβοᾶτε μὴ ἀφεῖναι, καὶ προςελθόντος μοι Βλε- c.
παίου [3]) τοῦ τραπεζίτου τηλικοῦτ' ἀνεκράγετε [4]), ὡς,
216 τοῦτ' ἐκεῖνο [5]), χρήματά μου ληψομένου, ὥςτε με ὦ ἄνδρες
Ἀθηναῖοι [6]) φοβηθέντα τὸν ὑμέτερον θόρυβον θοιμά-
τιον [7]) προέσθαι καὶ μικροῦ γυμνὸν ἐν τῷ χιτωνίσκῳ γε-
νέσθαι, φεύγοντα ἐκεῖνον ἕλκοντά [8]) με, καὶ μετὰ ταῦτα
ἀπαντῶντες „ὅπως ἐπέξει [9]) τῷ μιαρῷ καὶ μὴ [10]) διαλύ-
526 σει [11])· θεάσονταί σε τί ποιήσεις Ἀθηναῖοι" τοιαῦτα [12]) d.
Bk. λέγοντες· ἐπειδὴ [13]) δὲ κεχειροτόνηται μὲν ὕβρις [14]) τὸ
πρᾶγμα εἶναι, ἐν ἱερῷ δ' οἱ ταῦτα κρίνοντες [15]) καθεζό-
μενοι διέγνωσαν, διέμεινα δὲ ἐγὼ [16]) καὶ οὐ προὔδωκα

---

*Βλεπαίου τοῦ τραπεζίτου.*] Ἡ γὰρ τέχνη τὴν ὑπόνοιαν ἐνεποίει [1]).

*Ὡς τοῦτ' ἐκεῖνο.*] Ὃ πάλιν [2]) ἠλπίζομεν Μειδίαν ποιήσειν.

*Θοιμάτιον.*] Χιτωνίσκος μὲν τὸ κολόβιον, θοιμάτιον δὲ τὸ τριβώνιον.

*Ἐν ἱερῷ δέ.*] Ὥςτε τὸν τόπον διδάξαι τὸ δίκαιον.

1) Post hanc vocem W. asteriscum posuit. 2) Malim πάλαι.

---

1) πλουσίων τούτων ΠΥΩ. 2) δεομένου corr. Σ. 3) βλεπταίου k. 4) ἀνεκεκράγετε k, ἀνακεκράγατε Ital., ἀνεκεκράγειτε coni. Spald., repugnat Bu. 5) τότ' ἐκεῖνα mg. Lut., ἐκείνου Σ, παρ' ἐκείνου W. de coni. 6) ὦ ἄνδ. ἀθην. om. krs. 7) θοιμάτων Herv. 1. 2. Felic. Wolf., τὸ ἱμάτιον Par. 1. 5. Aug. 8) ἐκ. δ' ἕλκοντα Aug. ΠΣΥΩkrs. 9) Ita Bav. Vind. Ital. H. Stephan. Reisk. Bu. Be., ἐπέξῃ vulg. ante Reisk., ἐπέξῃ kr, ἐπεξῆ Yt, ἐπέζῃ s, ἐπεξῇ Par. 2, ἐπεξίῃ Par. 5, ἐπεξίῃς vel ἐπεξίῃ coni. Wolf. 10) μὴ om. kt Aug., καὶ, μὴ διαλ. Bu. 11) Ita Bav. ΠΥkt Be., διαλύσῃ vulg. 12) καὶ τοιαῦτα coni. W. 13) ἐπειδὴ δὲ] Ita Reisk. de coni. Spald. Bu. Be., ἐπεὶ δὴ κεχ. ΠΣΥΩkrtv et vulg. ante R., ἐπεὶ δὲ Bav. r Tayl. 14) ὕβρεις Lut. 15) κρίναντες Aug. krs, probat Tayl., in ordinem recepit Bu., non probat Schaef. 16) Ita ΠΣΥ Be., κἀγὼ vulg.

οὔθ' ὑμᾶς οὔτ' ἐμαυτόν, τηνικαῦτ' ἀποψηφιεῖσθε [1]) ὑμεῖς [2]).
217 μηδαμῶς· πάντα γὰρ τὰ αἴσχιστα ἔνεστιν ''ἐν τῷ πρά- 584 R.
γματι. εἰμὶ [3]) δ' οὐ τούτων ὑμῖν ἄξιος (πῶς γάρ [4])), ὦ e.
ἄνδρες Ἀθηναῖοι, κρίνων [5]) ἄνθρωπον καὶ [6]) δοκοῦντα
καὶ [7]) ὄντα βίαιον καὶ ὑβριστήν, ἡμαρτηκότα ἀσελγῶς ἐν
πανηγύρει, μάρτυρας τῆς ὕβρεως τῆς αὐτοῦ [8]) πεποιημέ-
νον οὐ μόνον ὑμᾶς ἀλλὰ καὶ τοὺς ἐπιδημήσαντας [9]) ἅπαν-
τας [10]) τῶν Ἑλλήνων. ἤκουσεν ὁ δῆμος [11]) τὰ πεπρα-
γμένα τούτῳ. τί οὖν; ὑμῖν καταχειροτονήσας παρέδωκεν. f.
218 οὐ τοίνυν οἷόν τε ἀφανῆ τὴν γνῶσιν ὑμῶν γενέσθαι, οὐδὲ
λαθεῖν, οὐδ' ἀνεξέταστον εἶναι [12]), τί ποθ' ὡς ὑμᾶς τοῦ
πράγματος ἐλθόντος ἔγνωτε· ἀλλ' ἐὰν μὲν κολάσητε, δό-
ξετε σώφρονες εἶναι καὶ καλοὶ κἀγαθοὶ [13]) καὶ μισοπόνηροι,
ἂν δ' ἀφῆτε, ἄλλου τινὸς ἡττῆσθαι [14]). οὐ γὰρ ἐκ πολιτι- g.

---

*Καὶ τοὺς ἐπιδημήσαντας.*] Ὡς [1]) κοινῷ θεάτρῳ τῆς Ἑλλάδος φάσκει γεγενῆσθαι τὴν ὕβριν.

1) ὡς] ὡς ἐν W. de coni. et Lut.

---

1) ἀποψηφιεῖσθαι Herv. 1ma Lut. 2) Ante Bu. post ὑμεῖς interrogandi signum ponebatur, reprehensum iam ab Iurino. 3) εἰ μὴδ' Ald. prior, εἰ μὴ δ' posterior. 4) Ita distinxit Schaef., ἄξιος (πῶς γὰρ ὦ ἄ. Ἀθηναῖοι;) κρίν. Be., ἄξιος· πῶς γάρ, ὦ ἄ. Ἀθηναῖοι; κρίν. Bu., ἄξιος. πῶς γὰρ ὦ ἄ. Ἀθηναῖοι κρίνων vulg. 5) γὰρ ὅστις ὦ ἄ. Ἀ. κρίνω γρ. Σ et mg. F. 6) καὶ addidit Reisk. post Tayl. ex Barocc. Aug. Vind. Bav. Obs., retinuerunt Bu. Be., qui nullam notavit scripturae discrepantiam. 7) καὶ om. t. 8) Ita Lut. Reisk. Bu. Be., αὐτοῦ Ald. Paul. Felic. Herv. 1. 2. Wolf., ἑαυτοῦ Aug. Par. 1. 9) ἐπιδημοῦντας Aug. krsv (Par. 5.) Reisk. 10) πάντας krs. 11) ὁ δῆμος ὑμᾶς τὰ πεπρ. Herv. 1ma. 12) εἶναι om. Ω. 13) κἀγαθοὶ ΠΩr Bu. Be., καὶ ἀγαθοὶ vulg. ante Bu. 14) Ita mg. Lut., ἡττᾶσθαι vulg., ἡττᾶσθε Aug. Bav. Fkrs, ἡττᾶσθαι t, ἥττησθε ΠΣΥΩ.

κῆς αἰτίας, οὐδ' ὥςπερ [1]) Ἀριστοφῶν [2]) ἀποδοὺς | τοὺς στεφάνους ἔλυσε τὴν προβολήν, ἀλλ' ἐξ ὕβρεως καὶ [3]) ἐκ τοῦ μηδὲν ἂν [4]) ὧν πεποίηκεν ἀναλῦσαι δύνασθαι κρίνεται. πότερ' [5]) οὖν τούτου γενομένου κρεῖττον [ἦν [6])] αὖθις [7]) 60
ἢ νυνὶ κολάσαι; ἐγὼ μὲν οἶμαι [8]) νῦν· κοινὴ γὰρ ἡ κρίσις, Bu.
καὶ τἀδικήματα πάντ' [9]), ἐφ' οἷς νῦν [10]) κρίνεται, κοινά.

219 Ἔτι δὲ οὐκ ἐμὲ ἔτυπτεν ὦ [11]) ἄνδρες Ἀθηναῖοι μόνον b.
οὗτος οὐδὲ [12]) ὕβριζε τῇ διανοίᾳ τότε, ποιῶν οἷα [13]) ἐποίει,

---

*Οὐδ' ὥςπερ Ἀριστοφῶν.*] Οὗτος φορολόγος ὢν κατέσχε παρ' αὐτῷ [1]) τὰς δεκάτας [2]) τῆς θεοῦ, ἀφ' ὧν ἔδει στεφάνους ποιῆσαι καὶ ἀναθεῖναι τῇ θεᾷ Ἀθηναίων [3]). κατηγορηθεὶς δὲ ὑπὸ Εὐβούλου, φθάσας τὴν εἴςοδον ἀνέθετο τοὺς στεφάνους καὶ πέπαυται ἡ προβολή.

*Ἐκ τοῦ μηδὲν ὧν πεποίηκεν.*] Οὐ μὴν ὁ Μειδίας ἣν ἐπεδείξατο ὕβριν κατ' ἐμοῦ καὶ τὰς πληγὰς ἀνακαλέσασθαι [4]).

*Οὐδ' ὕβριζε τῇ διανοίᾳ.*] Τῇ μὲν γὰρ χειρὶ τὸν Δημοσθένην, τῇ δὲ διανοίᾳ τοὺς πάντας. ὅπου [5]) γὰρ ῥήτωρ ὢν ἐγὼ ἐπλήγην, τί ποιήσετε [6]) ὑμεῖς οἱ ἧττον ἢ ἐγὼ δίκην λαμβάνειν δυνάμενοι;

1) Ita Lut., αὐτῷ vulg. 2) Boeckh. 2, 352. 3) f. τῇ Ἀθηναίᾳ, qua de forma conferantur Lex. Gr. post Herm. de emend. rat. Gr. Gr. p. 329, 70. Commentt. Acad. Inscr. T. 48, p. 350. Boeckh. Oec. Civ. Ath. 2, 200. 4) ἀνακ.] ἀνακ. δύναται Lut., δύναται ἀνακ. W. 5) Ante ὅπου in Lut. lemma additur *Ὅσους περ ἂν οἴηταί τις.*] 6) πείσεσθε W. de coni.

---

1) ὅςπερ Paul. 2) Ἀριστ. ὃς ἀποδοὺς coni. Reisk. 3) καὶ om. Aug. ΠΣΥΩkrs. 4) ἂν om. Lut., ὧν ἂν s. 5) Ita ΠΣΥΩ Bu. Be., πότερον vulg. 6) ἦν om. Aug. krs, uncis circumscripserunt Reisk. Be., deleverunt Spald. Bu. Dind., quod factum probat Schaef. 7) εὐθὺς mg. Ω et vulg. ante Reisk. 8) οἴομαι Reisk. de coni. 9) Pro πάντ' Reisk. mavult ταῦτα. 10) νῦν addunt ΠΣΥΩ Bav. γρ. F Bu., om. Be. et vulg. ante Bu., mavult omissum Schaef. 11) ὦ om. Ω. 12) οὐδ' Be. 13) οἷα] ἃ Aug. krs Reisk. Bu.

ἀλλ' ἅπαντας [1]), ὅσουςπερ [2]) ἂν οἴηταί τις ηττον ἐμοῦ
δύνασθαι δίκην ὑπὲρ αὑτῶν λαβεῖν. εἰ δὲ μὴ πάντες ἐπαίε-
σθε μηδὲ πάντες ἐπηρεάζεσθε χορηγοῦντες, ἴστε δήπου
τοῦθ', ὅτι οὐδ' [3]) ἐχορηγεῖθ' [4]) ἅμα πάντες, οὐδὲ δύναιτ'
527 ἄν ποθ' [5]) ὑμᾶς ἅμα πάντας [6]) μιᾷ χειρὶ οὐδεὶς [7]) προ-
Bk.
220 πηλακίσαι. ἀλλ' ὅταν εἷς ὁ παθὼν μὴ λάβῃ δίκην, τόθ' [8]) c.
ἕκαστον αὐτὸν [9]) χρὴ προσδοκᾶν τὸν πρῶτον μετὰ ταῦτ' [10])
ἀδικησόμενον [11]) γενήσεσθαι, καὶ μὴ [12]) παρορᾶν τὰ 585
τοιαῦτα, μηδ' ἐφ' ἑαυτὸν ἐλθεῖν περιμένειν, ἀλλ' ὡς ἐκ R.
πλείστου φυλάττεσθαι [13]). μισεῖ [14]) Μειδίας ἴσως [15]) ἐμέ, d.
ὑμῶν δέ γε [16]) ἕκαστον ἄλλος τις. ἆρ' οὖν συγχωρή-
σαιτ' [17]) ἂν [18]) τοῦτον [19]), ὅςτις ἐστὶν ἕκαστος [20]) ὁ μι-
σῶν, κύριον γενέσθαι [21]) τοῦ ταῦθ', ἅπερ οὗτος ἐμέ,

---

Τὸν πρῶτον μετὰ ταῦτα.] Πρῶτον τῶν ἄλλων μετ' ἐμέ.

Ἀλλ' ὡς ἐκ πλείστου.] Ἕως ἐστὶ πόῤῥω τῶν δεινῶν ἕκαστος φυλαττέσθω.

---

1) ἀλλὰ πάντας ΠΥΩkrs, ἀλλὰ ἅπαντας Herv. 2da. 2) ὅσους περ Be. 3) Ita Be., οὐδὲ vulg. 4) οὐδὲ χορηγεῖθ' Bav. Π Ald. Herv. 1. Felic. Paul. Wolf., οὐδὲ χορηγεῖν Herv. 2da. 5) ποθ'] Ita Aug. Be., οὐδέποθ' Ftv et vulg. ante Be. 6) ἅμα πάντας] ἅπαντας ΠΣΥΩ. 7) οὐδεὶς post ὑμᾶς ponunt krs. 8) τόθ'] τοῦθ' ΥΩ. 9) Ita Be., αὐτὸν vulg., αὐτῶν v. 10) ταῦθ' Ald. Herv. 1. 11) ἀδικηθησόμενον Bav. Aug. Fkrs Reisk. 12) μὴ — φυλάττεσθαι Bekk. Anecd. 138, 19. 13) φυλάττεσθε Wolf. 14) μισεῖ — ἐμὲ Aristid. τ. β. 180. 15) ἴσως Schaef., „si qui", inquit, „libri ex hoc commate ablatum proximo iungerent, eos perlibenter sequerer". 16) Ita Aug. Reisk. Bu. Be., qui nullam notavit scripturae discrepantiam, δ' ἕκαστον vulg. ante Reisk. 17) Ita Reisk. ex mg. Lut. Bav. Ven. Barocc., συγχωρήσετ' vulg. ante R.
ων
18) ἂν om. Ital. Lindenbr. 19) τουτον Bav. F. 20) ἑκάστον Reisk. de coni. Sp., om. k. 21) γίγνεσθαι ΠΣΥΩkrs Aug. Bu.

ὑμῶν ἕκαστον [1]) ποιῆσαι; ἐγὼ μὲν οὐκ οἶμαι [2]). μὴ [3])
τοίνυν μηδ' ἐμὲ ὦ ἄνδρες Ἀθηναῖοι πρόησθε [4]) τούτῳ.
221 δρᾶτε δέ [5]). αὐτίκα δὴ μάλα, ἐπειδὰν ἀναστῇ τὸ δικαστή- e.
ριον, εἷς ἕκαστος ὑμῶν, ὁ μὲν θᾶττον ἴσως, ὁ δὲ σχολαί-
τερον [6]), οἴκαδ' ἄπεισιν οὐδέν γε [7]) φροντίζων οὐδὲ μετα-
στρεφόμενος οὐδὲ φοβούμενος, οὔτ' εἰ φίλος οὔτ' εἰ μὴ [8])
φίλος αὐτῷ [9]) συντεύξεταί [10]) τις, οὐδέ γε εἰ [11]) μέγας
ἢ μικρός, εἰ [12]) ἰσχυρὸς ἢ ἀσθενής, οὐδὲ τῶν τοιούτων
οὐδέν. τί δή ποτε; ὅτι τῇ ψυχῇ τοῦτ' οἶδε καὶ θαῤῥεῖ καὶ
πεπίστευκε τῇ πολιτείᾳ, μηδένα αὐτὸν [13]) ἕλξειν [14]) μηδ'
222 ὑβριεῖν [15]) μηδὲ τυπτήσειν. εἶτ' ἐφ' ἧ [16]) ἀδείᾳ αὐτοὶ πο- 61
ρεύεσθε, ταύτην [17]) οὐ βεβαιώσαντες ἐμοὶ βαδιεῖσθε; Bu.
καὶ [18]) τίνι χρή [19]) με λογισμῷ περιεῖναι [20]) ταῦτα πα-

---

Ἐπειδὰν ἀναστῇ τὸ δικαστήριον.] Τὸν τόπον [1]) ἀντὶ τῶν ἐν τῷ τόπῳ, ἔθος ἀρχαῖον.

Οὐδὲ μεταστρεφόμενος.] Τοιοῦτοι γὰρ οἱ φοβούμενοι.

(Συντεύξεται.] Ἀντὶ τοῦ συνακολουθήσει ἢ μᾶλλον ὑπαντήσει. B.)

1) τόπον] τόπ. τέθεικεν Lut.

---

1) ἕκαστον ὑμῶν kr. 2) οἴομαι Aug. Reisk. 3) μὴ] καὶ Ω. 4) Ita Fel. Herv. 2. Bu., προέσθε Ftv Ald. Herv. 1. Wolf. Lut. Tayl. Reisk., προῆσθε Be. Di. 5) δὲ om. Bav. ΠΣΥΩ. 6) σχολαιότερον rv. 7) γε om. ΠΥΩ. 8) οὔτ' εἰ μὴ φίλος om. Bav. F, οὔτ' εἰ μηδὲν tv. 9) Ita Herv. Wolf. Bu., αὑτῷ vulg. 10) συνεύξεται t. 11) εἰ] ἢ Σkr Aug. 12) εἰ] Ita scripsi de coni., ἢ vulg. ante Reisk. et FΣΥΩtv, ἢ εἰ Π, οὐδ' krs Aug., οὐδ' εἰ Reisk. de coni. Bu. Be. 13) αὑτὸν Be., om. Σ. 14) ἕλξειν] ἐλπίσειν Π. 15) ὑβρίσειν ks Aug. 16) Ita Reisk. de coni. Bu. Be., ἐφ' ἣν ἄδειαν libri omnes. 17) ταύτην om. ΠΥΩ. 18) καὶ om. Ω. 19) με χρὴ λογ. ταῦτα παθόντα περιεῖναι γρ. Σ. 20) περιεῖναι om. krs Aug.

θόντα [1]), εἰ περιόψεσθέ [2]) με [3]) νῦν ὑμεῖς [4]); θάῤῥει [5])
νὴ Δία [6]), φήσειέ τις ἄν· οὐ γάρ ἔτ' οὐδὲν ὑβρισθήσῃ.
ἐὰν δέ, τότ' [7]) ὀργιεῖσθε [8]), νῦν ἀφέντες; μηδαμῶς ὦ
ἄνδρες Ἀθηναῖοι [9]), μὴ προδῶτε [10]) μήτ' ἐμὲ μήθ' ὑ-
223 μᾶς αὐτοὺς μήτε τοὺς νόμους. καὶ γὰρ αὐτὸ τοῦτο εἰ b.
528 Bk. θέλοιτε σκοπεῖν καὶ ζητεῖν, τῷ [11]) ποτ' εἰσὶν ὑμῶν οἱ ἀεὶ
δικάζοντες ἰσχυροὶ καὶ κύριοι τῶν ἐν τῇ πόλει [12]) πάντων,
ἄν [13]) τε διακοσίους [14]) ἄν τε χιλίους ἄν θ' ὁπόσους ἄν [15]) ἡ
πόλις καθίσῃ, οὔτε τῷ μεθ' ὅπλων εἶναι συντεταγμένοι
μόνοι τῶν ἄλλων πολιτῶν εὕροιτ' ἄν, οὔτε τῷ τὰ σώματ' [16])
ἄριστα ἔχειν καὶ μάλιστα [17]) ἰσχύειν τοὺς δικάζοντας [18]),
οὔτε τῷ τὴν ἡλικίαν εἶναι νεώτατοι, οὔτε τῶν τοιούτων 586 R.
224 οὐδενί, ἀλλὰ τῷ τοὺς [19]) νόμους ἰσχύειν. ἡ δὲ τῶν νόμων c.
ἰσχὺς τίς] ἐστιν [20]); ἆρ' ἐάν τις ὑμῶν ἀδικούμενος ἀνα-

*Ἐάν τε διακοσίους ἐάν τε χιλίους*,] Οὐ γὰρ διὰ τὸ πλῆθος ἀλλὰ διὰ τοὺς νόμους ἰσχύουσιν.

(*Ἆρ' ἐάν τις ὑμῶν ἀδικούμενος*.] Περὶ κριτοῦ καὶ νόμων. B.)

1) *παθόντα καὶ ζῆν* vulg., *καὶ* om. F Bav. Aug. Par. 1., *καὶ ζῆν* om. ΠΣΥΩ Sp. Be., retinent Bu. Di. Schaef. *περιεῖναι ταῦτα παθόντα, ζῆν εἰ περιόψεσθε τοῦτον νῦν ὑμεῖς ἀτιμώρητον* coni. Reisk. 2) *εἴπερ ὄψεσθε* Aug. krs. 3) *με* om. Bav., probat Bu. 4) *ὑμεῖς* om. F. 5) *θαῤῥεῖν* Σ. 6) Ita distinxerunt Wolf. et Be., *θάῤῥει, νὴ Δία, φήσειέ* Reisk. Bu., *θάῤῥει, νὴ Δία φήσ.* Schaef. 7) *τότε* vulg. ante Reisk. 8) *ὀργιεῖσθε* Ald. Herv. 1ma. 9) *Ἀθηναῖοι*] *δικασταὶ* Ω. 10) *μὴ προδῶτε ὦ ἄ. Ἀθην.* krs. 11) Ita Aug. Be., *τίνι τινι* Bav. F, *ὅτῳ* tv et vulg. ante Be. 12) *πολιτείᾳ* Aug. krs. 13) *ἐάν — ἐάν — ἐάν* ΠΩ krs. 14) *πεντακοσίους* rc. k. 15) *ὁποσουσοῦν ἡ* Aug. Lessing. krs Spald. Bu. 16) *σώματα* vulg. ante Reisk. 17) *μάλα* Ω. 18) Be. uncis inclusit verba *τοὺς δικάζοντας*, id quod probat Schaef. 19) *τῷ τοῖς νόμοις ἰσχύειν* vulg. ante Reisk. et FΠkrv, *τὸ τοῖς νόμοις ἰσχύειν* Frank., *τῇ τῶν νόμων ἰσχύϊ* ΣΥΩ Lindenbr. Obsop., *τῷ τοὺς νόμους ἰσχύειν* mg. Lut. Tayl. Reisk. Bu. Be., *τῷ τὸν νόμον ἰσχύειν* Ital. 20) *ἐστι* Ald. Herv. 1. 2. Felic.

κράγῃ, προςδραμοῦνται καὶ παρέσονται βοηθοῦντες; οὔ· γράμματα γάρ γεγραμμένα ἐστί, καὶ οὐχὶ δύναιντ' 1) ἂν τοῦτο ποιῆσαι. τίς οὖν ἡ δύναμις αὐτῶν 2) ἐστιν 3); ὑμεῖς ἐὰν βεβαιῶτε αὐτοὺς καὶ παρέχητε κυρίους 4) ἀεὶ τῷ δεομένῳ. οὐκοῦν οἱ νόμοι τε ὑμῖν εἰσιν ἰσχυροὶ d.
225 καὶ ὑμεῖς τοῖς νόμοις 5). δεῖ τοίνυν τούτοις βοηθεῖν ὁμοίως ὥςπερ ἂν αὐτῷ τις ἀδικουμένῳ, καὶ τὰ τῶν 6) νόμων ἀδικήματα κοινὰ νομίζειν, ἐφ' ὅτου περ ἂν λαμβάνηται, καὶ μήτε λειτουργίας μήτ' 7) ἔλεον 8) μήτ' ἄνδρα μηδένα μήτε τέχνην μηδεμίαν 9) εὑρῆσθαι μήτ' ἄλλο μηδέν 10), δι' ὅτου παραβάς τις τοὺς νόμους οὐ δώσει δίκην.

226 Ὑμῶν οἱ θεώμενοι τοῖς Διονυσίοις εἰςιόντα εἰς 62 Bu.
τὸ θέατρον τοῦτον ἐσυρίττετε 11) καὶ ἐκεκράγειτε,

---

— Ἀνακράγῃ.] Λέγων, ὦ νόμοι.
Καὶ μήτε λειτουργίας. 1)] Διὰ τὴν τριηραρ-
1) λειτοργίας Ald.

---

1) δύναιτ' ΠΥΩτν et vulg. ante Tayl., δύναιντ' Barocc. Ital. Aug. Tayl. Reisk. Bu. Be., δυνήσαιντ' Vind. 2) Ita ΠΣΥΩ Bu. Be., αὐτῶν ἡ δύναμις vulg. ante Bu. 3) ἐστι Ald. Herv. 1. 2. Felic. 4) κυρίως kr Aug. 5) νόμος Felic. 6) τὰ κατὰ τῶν νόμων ἀδικήματα mavult Bu. 7) μήτ' — μήτ' Be., μήτε — μήτε vulg. 8) μήτ' ἔλεον om. Ald. Felic. Paul. Herv. 1. 2. Wolf. 9) μηδεμίαν ἐᾶν εὑρ. coni. Reisk. 10) μήτ' ἄλλο μηδὲν om. Π, ante εὑρῆσθαι ponunt krs. 11) ἐκλώζετε vocabulum Harpocratio v. ex hac oratione excitat; cui Lambinus locum post ἐσυρίττετε assignavit, ἐσυρ. καὶ ἐκλώζετε καὶ πάντα, id quod certe aliquanto probabilius est, quam Valesii coniectura illud post ἐκρατεῖθ' — δήμῳ reiicientis. Lambinum sequuntur Reisk. Sp. Bu. Be., libri vero omnes καὶ ἐκλώζετε aut omittunt ut Aug. et plerique librorum Bekkeri, aut eius loco post ἐσυρίττετε addunt vel καὶ ἐκεκράγετε ut ΠΣΥΩ mg. Bav., vel καὶ ἐκεκράγατε ut Paul. Herv. 2da (asterisco ante καὶ ἐκ. posito), vel καὶ ἐκεκράγειτε ut Obsop., vel καὶ ἐκράγατε ut Felic., vel καὶ ἐκράγετε ut Tayl., ἐσυρίττετε καὶ ἐκλώζετε καὶ ἐκεκράγειτε coni. Bu.

καὶ [1]) πάντα, ἃ μισοῦς ἐστὶ σημεῖα, ἐποιεῖτε οὐδὲν ἀκη-
κοότες πω [2]) περὶ αὐτοῦ παρ᾽ ἐμοῦ. εἶτα πρὶν μὲν ἐλεγχθῆ- b.
ναι τὸ πρᾶγμα ὠργίζεσθε [3]), προὐκαλεῖσθε ἐπὶ τιμωρίαν
τὸν παθόντα, ἐκροτεῖθ᾽, ὅτε [4]) προὐβαλόμην [5]) αὐτὸν ἐν
227 τῷ δήμῳ· ἐπειδὴ δ᾽ ἐξελήλεγκται [6]), καὶ προκατέγνωκεν
ὁ δῆμος τούτου εἰς ἱερὸν καθεζόμενος, καὶ τἄλλα προςεξή-
529 τασται [7]) τὰ πεπραγμένα τῷ μιαρῷ τούτῳ, καὶ δικάσον-
Bk. τες εἰλήχατε, καὶ πάντ᾽ ἐστὶν ἐν ὑμῖν μιᾷ ψήφῳ διαπρά-
ξασθαι, νῦν ὀκνήσετε ἐμοὶ βοηθῆσαι, τῷ δήμῳ [8]) χαρί-
σασθαι, τοὺς ἄλλους σωφρονίσαι, μετὰ πολλῆς [9]) ἀσφα-
λείας αὐτοὶ [10]) τὸ λοιπὸν διάγειν, παράδειγμα ποιήσαντες
τοῦτον τοῖς ἄλλοις;

Πάντων οὖν εἵνεκα [11]) τῶν εἰρημένων, καὶ μάλι- 587
R. c.

---

χίαν, „μήτε δὲ ἄνδρα“ διὰ τὸν Εὔβουλον λέγει, „τὸ δὲ μήτε τέχνην“ διὰ τοὺς συνηγόρους καὶ τὴν ἀπάτην.

Καὶ μάλιστα τοῦ θεοῦ χάριν.] Ἀναγκαίως πρὸς τῷ τέλει τοῦ λόγου τοῦ θεοῦ μέμνηται, ἐπειδήπερ τῶν ἀνθρωπίνων τὰ τῶν κρειττόνων [1]) ἐστὶ προτιμώτερα.

1) Hoc de significatu *κρείττονες* vocabuli, quo „deos“ significet cf. Schaefer. Melet. Cr. p. 31.

---

1) *καὶ πάντα — σημεῖα*] Ita *ΠΣΥΩ* mg. Bav. (hic vero om. *ἐστί*) Felic. Herv. 2da Paul. Be., *ὥστε — ταῦτα* Ftv et vulg. ante Reisk., *ὥστε — σημεῖα ταῦτ᾽* reliqui libri Bekkeri, indd. Felic. Herv. 2dae Paul., mg. Lut. Aug. Vind. Barocc. Obsop. Ital. Reisk. Bu. 2) *πω* om. s. 3) *ὀργίζεσθε* s. 4) *ὅτι* Frankf. 5) *προὐβαλλόμην* Ωs Bu. 6) *ἐξελήλεγμαι* r. 7) Ita Sp. Bu. Be. et vulg. ante Reisk., *προεξήτασται* rt et Reisk., (ni fallor, ex Aug). 8) *δήμῳ* om. Herv. 1ma. 9) Ita Bu. Be., *πολλῆς αὐτοὶ τὸ λοιπὸν ἀσφ.* vulg. ante Bu. 10) *αὐτοὶ* om. Aug. krs, *αὐτοὺς* tv, indd. Ald. Herv. 1mae, *αὐτὴν* indd. Felic. Herv. 2dae Paul. 11) Ita *ΠΣΥΩ* Bu. Be., *ἕνεκα* vulg.

ατα τοῦ θεοῦ χάριν, περὶ οὗ τὴν ἑορτὴν ἀσεβῶν οὗτος ἥλωκε, τὴν ὁσίαν καὶ [1]) δικαίαν θέμενοι ψῆφον τιμωρήσασθε τοῦτον.

---

(Τὴν ὁσίαν [1]).] Ὁσίαν, τὴν ἐπὶ θανάτῳ τιμὴν ἢ ἡμέραν. ὁσίαν, κηδείαν τὴν ἐπὶ νεκροῖς τιμήν „ἔθαψαν δὲ αὐτοὺς μὴ ἀτιμάσαντες νεκροῖς ὁσίαν". B.)

1) Hausta haec ex Suid. v. ὁσία, qui hinc potest emendari.

---

1) Ita Reisk. ex Aug. Bu. Be., καὶ τὴν δικ. tv et vulg. ante Reisk.

---